ПЕРЕКЛАДИ

УДК 930.1(38):[94(37)=030.143=161.2]
DOI: https://doi.org/10.17721/1728-2659.2023.34.29

Федір Довбищенко, д-р філософії (Філологія)
ORCID: 0009-0002-6820-1055
e-mail: fedir.dovbyshchenko@gmail.com
Київський національний університет імені Тараса Шевченка, Київ, Україна

ГЕРОДІАН. ІСТОРІЯ РИМСЬКОЇ ДЕРЖАВИ ПІСЛЯ МАРКА АВРЕЛІЯ. КНИГА І (ПЕРЕКЛАД ІЗ ДАВНЬОГРЕЦЬКОЇ МОВИ)

Увазі науковців і широкого загалу пропонується переклад українською мовою книги I твору грекомовного історика доби римського панування Геродіана (III ст. н. е.) "Історія Римської держави після Марка Аврелія" (Τῆς μετὰ Μάρκον βασιλείας ἱστορίας βιβλία ὀκτώ), у якому описуються події в політичному житті Римської імперії зі 180 до 238 р. н. е., тобто від смерті Марка Аврелія до приходу до влади Гордіана III. Книга I охоплює правління імператора Комода (180–192 рр. н. е.). Переклад твору українською публікується вперше у двомовному вигляді. Науковий редактор перекладу – д-р філол. наук, професор кафедри загального мовознавства, класичної філології та неоелліністики Навчально-наукового інституту філології Київського національного університету імені Тараса Шевченка Леся Леонідівна Звонська. Джерело оригінального тексту: Lucarini, C.M. ed. (2005). Herodiani Regnum post Marcum. München: Saur.

Ключові слова: давньогрецька історіографія, Геродіан, український переклад.

[1,1] Οἱ πλεῖστοι τῶν περὶ συγκομιδὴν ἱστορίας ἀσχοληθέντων ἔργων τε πάλαι γεγονότων μνήμην ἀνανεώσασθαι σπουδασάντων, παιδείας κλέος ἀίδιον μνώμενοι, ὡς ἂν μὴ σιωπήσαντες λάθοιεν εἰς τὸν πολὺν ὅμιλον ἀριθμούμενοι, τῆς μὲν ἀληθείας ἐν ταῖς ἀφηγήσεσιν ὠλιγώρησαν, οὐχ ἥκιστα δὲ ἐπεμελήθησαν φράσεώς τε καὶ εὐφωνίας, θαρροῦντες ὡς, εἴ τι καὶ μυθῶδες λέγοιεν, τὸ μὲν ἡδὺ τῆς ἀκροάσεως αὐτοὶ καρπώσονται, τὸ δ᾽ ἀκριβὲς τῆς ἐξετάσεως οὐκ ἐλεγχθήσεται. 2 εἰσὶ δ᾽ οἳ πρὸς ἔχθραν ἢ μῖσος τυράννων, κολακείαν τε ἢ τιμὴν βασιλέων πόλεώς τε <καὶ> ἰδιωτῶν, εὐτελῆ καὶ μικρὰ ἔργα λόγων ἀρετῇ δόξῃ παρέδοσαν τῆς ἀληθείας μείζονι. 3 ἐγὼ δ᾽ ἱστορίαν οὐ παρ᾽ ἄλλων παραδεξάμενος ἄγνωστόν τε καὶ ἀμάρτυρον, ὑπὸ νεαρᾷ δὲ τῇ τῶν ἐντευξομένων μνήμῃ, μετὰ πάσης [ἀληθοῦς] ἀκριβείας ἤθροισα ἐς συγγραφήν, οὐκ ἀτερπῆ τὴν γνῶσιν καὶ τοῖς ὕστερον ἔσεσθαι προσδοκήσας ἔργων μεγάλων τε καὶ πολλῶν ἐν ὀλίγῳ χρόνῳ γενομένων. 4 εἰ γοῦν τις παραβάλοι πάντα τὸν ἀπὸ τοῦ Σεβαστοῦ χρόνον, ἐξ οὗπερ ἡ Ῥωμαίων δυναστεία μετέπεσεν εἰς μοναρχίαν, οὐκ ἂν εὕροι ἐν ἔτεσι περί που διακοσίοις μέχρι τῶν Μάρκου καιρῶν οὔτε βασιλειῶν οὕτως ἐπαλλήλους διαδοχὰς οὔτε πολέμων ἐμφυλίων τε καὶ ξένων τύχας ποικίλας ἐθνῶν τε κινήσεις καὶ πόλεων ἀλώσεις τῶν τε ἐν τῇ ἡμεδαπῇ καὶ ἐν πολλοῖς βαρβάροις, γῆς τε σεισμοὺς καὶ ἀέρων φθορὰς τυράννων τε καὶ βασιλέων βίους παραδόξους πρότερον ἢ σπανίως ἢ μηδ᾽ ὅλως μνημονευθέντας· 5 ὧν οἳ μὲν ἐπιμηκέστερον ἔσχον τὴν ἀρχήν, οἳ δὲ πρόσκαιρον τὴν δυναστείαν· εἰσὶ δ᾽ οἳ μέχρι προσηγορίας καὶ τιμῆς ἐφημέρου μόνης ἐλθόντες εὐθέως κατελύθησαν. μερισθεῖσα γὰρ ἡ Ῥωμαίων ἀρχὴ ἐν ἔτεσιν ἑξήκοντα ἐς πλείους δυνάστας, ἢ ὁ χρόνος ἀπῄτει, πολλὰ καὶ ποικίλα ἤνεγκε καὶ θαύματος ἄξια. 6 τούτων γὰρ οἱ μὲν τὴν ἡλικίαν πρεσβύτεροι διὰ τὴν ἐμπειρίαν τῶν πραγμάτων ἐπιμελέστερον ἑαυτῶν τε καὶ τῶν ὑπηκόων ἦρξαν, οἱ δὲ κομιδῇ νέοι ῥαθυμότερον βιώσαντες πολλὰ ἐκαινοτόμησαν· διόπερ εἰκότως ἐν ἡλικίαις τε καὶ ἐξουσίαις διαφόροις οὐχ ὅμοια γέγονε τὰ ἐπιτηδεύματα. ὡς δ᾽ ἕκαστα τούτων πέπρακται, κατὰ χρόνους καὶ δυναστείας διηγήσομαι.

[1,1] *Більшість із тих, хто працював над збором історій і повсякчас старався відновити пам'ять про діяння давнини, сподівалися на вічну славу освіченості, аби мовчазно не загубитися серед велелюдної юрби, і тому нехтували у своїх працях істиною, зате чимало дбали про стиль і милозвучність Вони покладались на те, ніби, навіть якщо оповідатимуть байки, то приємність для слуху принесе їм зиск, а за неточність викладу їх не викриють. 2 Є й такі, що через ворожість чи ненависть до тиранів, запопадливість або смирення перед імператорами, на догоду містам чи окремим особам надавали [подіям] в уяві більшої слави, ніж було насправді. 3 Я ж не переймав від інших маловідомі й бездоказові історії, а зі свіжої пам'яті й з усією ретельністю зібрав у своєму творі діяння, про які оповідатиму, постановивши заздалегідь, що знання багатьох значних подій, які відбулися за короткий час, не буде неприємним для нащадків. 4 Тож, якщо зіставити весь відтинок часу, починаючи від Августа, відтоді як римський державний устрій став монархічним, то годі й відшукати за сливе 200 років аж до часів Марка нічого такого подібного, аби царство настільки часто переходило від одних наступників до інших, ані мінливих примх долі у війнах міжусобних і на чужині, ані переселень народів і завоювань міст на нашій землі й по численних варварських, ані землетрусів і отруєнь повітря, ані супротивних звичаям тиранів та імператорів, про яких у попередні часи згадувалось або зрідка, або взагалі й не згадувалося. 5 Деякі з них довше протримались при владі, інші ж мали нетривале володарювання; є й такі, які, щойно досягши швидкоплинної прихильності й шани, одразу були повалені. Адже влада над римлянами, розділена між більшою кількістю правителів, ніж того вимагав проміжок часу в шістдесят років, принесла багато різноманітного й гідного подиву. 6 З них старші за віком завдяки досвіду у справах дбайливіше владарювали над собою й підданими, зате молодики, ведучи цілком безтурботне життя, здійснили багато переворотів: через те, що, звісно, у різних літах і за різних можливостей різною буває і вдача. Як звершувалося кожне з цих діянь, я викладатиму в часовій послідовності й за правліннями.*

[1,2] τῷ βασιλεύοντι Μάρκῳ θυγατέρες μὲν ἐγένοντο πλείους, ἄρρενες δὲ δύο. τῶν δὲ ἀρρένων τούτων ὁ μὲν ἕτερος κομιδῇ νέος τὸν βίον μετήλλαξε (Βηρίσσιμος δ᾽ ἦν ὄνομα αὐτῷ), τὸν δὲ περιόντα Κόμοδόν τε καλούμενον ὁ πατὴρ μετὰ πάσης ἐπιμελείας ἀνεθρέψατο, πάντοθεν τοὺς ἐν τοῖς ἔθνεσιν ἐπὶ λόγοις δοκιμωτάτους ἐπὶ συντάξεσιν οὐκ εὐ καταφρονήτοις καλῶν, ὅπως συνόντες ἀεὶ παιδεύοιεν αὐτῷ τὸν υἱόν. 2 τάς τε θυγατέρας ἐν ὥρᾳ γενομένας ἐξέδοτο ἀνδράσι τῆς συγκλήτου βουλῆς τοῖς ἀρίστοις, οὐ τοὺς γένους μακραῖς διαδοχαῖς εὐπατρίδας οὐδὲ τοὺς πλούτου περιβολαῖς λαμπρούς, κοσμίους δὲ τὸν τρόπον καὶ σώφρονας τὸν βίον γαμβροὺς αὐτῷ γενέσθαι θέλων· ταῦτα γὰρ μόνα [ψυχῆς] ἴδια καὶ ἀναφαίρετα ἡγεῖτο κτήματα. 3 ἀρετῆς δὲ πάσης ἔμελεν αὐτῷ, λόγων τε ἀρχαιότητος ἦν ἐραστής, ὡς μηδενὸς μήτε Ῥωμαίων

[1,2] *В імператора Марка було кілька дочок, а дітей чоловічої статі – двоє. З цих хлопчиків молодший пішов із життя зовсім юним (ім'я йому було Верісім); того ж, що вижив, на ім'я Комод, батько виховав з усією турботою, скликаючи звідусіль із провінцій найвидатніших у науках [мужів] за неабияку платню, щоб вони, постійно перебуваючи при синові, навчали його. 2 Коли надійшла пора донькам, він видав їх за найкращих мужів сенату, та не за шляхетних давністю родоводу, не відомих своїм багатством, але прагнув, аби зятями йому стали люди скромні вдачею й поміркувані в житті: адже лише ці якості, притаманні й невід'ємні від душі, він вважав набутком. 3 Всяке доброчестя було йому небайдужим; він був шанувальником давнього письменства, так що не поступався в цьому нікому з римлян ані*

© Довбищенко Федір, 2023

μήτε Ἑλλήνων ἀπολείπεσθαι· δηλοῖ δὲ ὅσα καὶ εἰς ἡμᾶς ἦλθεν ἢ λεχθέντα πρὸς αὐτοῦ ἢ γραφέντα. 4 παρεῖχε δὲ καὶ τοῖς ἀρχομένοις ἑαυτὸν ἐπιεικῆ καὶ μέτριον βασιλέα, τούς τε προσιόντας δεξιούμενος κωλύων τε τοὺς περὶ αὐτὸν δορυφόρους ἀποσοβεῖν τοὺς ἐντυγχάνοντας. μόνος τε βασιλέων φιλοσοφίαν οὐ λόγοις οὐδὲ δογμάτων γνώσεσι, σεμνῷ δ´ ἤθει καὶ σώφρονι βίῳ ἐπιστώσατο. πολύ τε πλῆθος ἀνδρῶν σοφῶν ἤνεγκε ἡ τῶν ἐκείνου καιρῶν φορά· φιλεῖ γάρ πως ἀεὶ τὸ ὑπήκοον ζήλῳ τῆς τοῦ ἄρχοντος γνώμης βιοῦν. 5 ὅσα μὲν οὖν ἐκείνῳ πέπρακται ἀνδρεῖα καὶ σώφρονα, στρατηγικὴν ἢ πολιτικὴν ἀρετὴν ἔχοντα, πρός τε τοὺς τὰ ἀρκτῷα τῆς γῆς [ἔθνη βάρβαρα] κατοικοῦντας πρός τε τοὺς ὑπὸ ταῖς ἀνατολαῖς ποιουμένους τὸν βίον, πολλοῖς καὶ σοφοῖς ἀνδράσι συγγέγραπται. ἃ δὲ μετὰ τὴν Μάρκου τελευτὴν παρὰ πάντα τὸν ἐμαυτοῦ βίον εἶδόν τε καὶ ἤκουσα (ἔστι δ´ ὧν καὶ πείρᾳ μετέσχον ἐν βασιλικαῖς ἢ δημοσίαις ὑπηρεσίαις γενόμενος) ταῦτα συνέγραψα.

[1,3] γηραιὸν ὄντα Μᾶρκον, καὶ μὴ μόνον ὑφ´ ἡλικίας, ἀλλὰ καὶ καμάτοις τε καὶ φροντίσι τετρυχωμένον διατρίβοντά τε ἐν Παίοσι νόσος χαλεπὴ καταλαμβάνει. ἐπεὶ δὲ αὐτῷ τὰς πρὸς σωτηρίαν ἐλπίδας φαύλως ἔχειν ὑπώπτευεν, ἐώρα τε τὸν παῖδα τῆς μειρακίων ἡλικίας ἀρχόμενον ἐπιβαίνειν, δεδιὼς μὴ νεότης ἀκμάζουσα καὶ ἐν ὀρφανίᾳ ἐξουσίαν αὐτοκράτορα καὶ ἀκώλυτον προσλαβοῦσα μαθημάτων μὲν καλῶν καὶ ἐπιτηδευμάτων ἀφηνιάσῃ, μέθαις δὲ καὶ κραιπάλαις ἐπιδῷ ἑαυτήν (ῥᾷστα γὰρ αἱ τῶν νέων ψυχαὶ εἰς ἡδονὰς ἐξολισθαίνουσαι ἀπὸ τῶν παιδείας καλῶν μετοχετεύονται), 2 οἷα δὴ ἄνδρα πολυίστορα μάλιστα ἐτάραττε μνήμη τῶν ἐν νεότητι βασιλείαν παραλαβόντων, τοῦτο μὲν Διονυσίου τοῦ Σικελιώτου τυράννου, ὃς ἀπὸ τῆς ἄγαν ἀκρασίας καινὰς ἡδονὰς ἐπὶ μεγίστοις μισθοῖς ἐθηρᾶτο, τοῦτο δὲ αἱ τῶν Ἀλεξάνδρου διαδόχων εἰς τοὺς ὑπηκόους ὕβρεις τε καὶ βίαι, δι´ ὧν τὴν ἐκείνου ἀρχὴν κατῄσχυναν, 3 Πτολεμαῖος μὲν καὶ μέχρις ἀδελφῆς ἰδίας ἔρωτος προχωρήσας παρὰ τοὺς Μακεδόνων τε καὶ Ἑλλήνων νόμους, Ἀντίγονος δὲ Διόνυσον πάντα μιμούμενος καὶ κισσὸν μὲν περιτιθεὶς τῇ κεφαλῇ ἀντὶ καυσίας καὶ διαδήματος Μακεδονικοῦ, θύρσον δὲ ἀντὶ σκήπτρου φέρων· 4 ἔτι δὲ καὶ μᾶλλον αὐτὸν ἐλύπει τὰ μὴ πρὸ πολλοῦ ἀλλ´ ὑπόγυον ἔχοντα τὴν μνήμην, τά τε Νέρωνι πεπραγμένα, ὃς ἐχώρησε μέχρι μητρῴου φόνου παρεῖχέ τε τοῖς δήμοις ἑαυτὸν καταγέλαστον θέαμα, τά τε Δομετιανῷ τετολμημένα, τῆς ἐσχάτης ὠμότητος οὐδὲν ἀπολείποντα. 5 τοιαύτας δὴ τυραννίδος εἰκόνας ὑποτυπούμενος ἐδεδίει τε καὶ <ἀπ>ῄλπιζεν· οὐ μετρίως δ´ αὐτὸν ἐταράττων καὶ οἱ Γερμανοὶ γειτνιῶντες, οὓς οὐδέπω πάντας ἐκεχείρωτο, ἀλλὰ τοὺς μὲν πειθοῖ ἐς συμμαχίαν προσηγάγετο, τῶν δὲ καὶ κρατήσας ἦν τοῖς ὅπλοις· ἦσαν δέ τινες οἳ διαδράντες πρὸς τὸ παρὸν ἀνακεχωρήκεσαν δέει τῆς παρουσίας τοιούτου βασιλέως. ὑπώπτευεν οὖν, μὴ τῆς ἡλικίας τοῦ μειρακίου καταφρονήσαντες ἐπιθῶνται αὐτῷ. ἐρᾳ δὲ τὸ βάρβαρον καὶ ἐπὶ ταῖς τυχούσαις ἀφορμαῖς ῥᾷστα κινεῖσθαι.

[1,4] κυμαίνουσαν οὖν ἔχων τοσαύταις φροντίσι τὴν ψυχήν, συγκαλέσας τε τοὺς φίλους ὅσοι τε παρῆσαν τῶν συγγενῶν καὶ τὸν παῖδα παραστησάμενος, ἐπειδὴ πάντες συνῆλθον, ἡσυχῇ τοῦ σκίμποδος κουφίσας ἑαυτὸν τοιούτων λόγων ἤρξατο· 2 „ἄχθεσθαι μὲν ὑμᾶς ἐφ´ οἷς ὁρᾶτέ με διακείμενον, θαυμαστὸν οὐδέν· φύσει τε γὰρ τὸ ἀνθρώπινον ἐλεεινὸν ἐν ταῖς τῶν ὁμοφύλων συμφοραῖς, τά τε δεινὰ ὑπ´ ὄψιν πεσόντα οἴκτον προκαλεῖται μείζονα. ἐμοὶ δέ τι καὶ πλέον ὑπάρχειν παρ´ ὑμῶν οἴομαι· ἐκ γὰρ ὧν αὐτὸς διάκειμαι πρὸς ὑμᾶς, ἀμοιβαίαν εὔνοιαν εἰκότως ἤλπικα. 3 νῦν δὲ καιρὸς εὔκαιρος ἐμοί τε αἰσθέσθαι μὴ μάτην εἰς ὑμᾶς τοσούτου χρόνου τιμήν τε καὶ σπουδὴν κατατεθεῖσθαι, ὑμῖν τε ἀποδοῦναι χάριν, δείξασιν ὅτι ὑπὲρ ὧν ἐτύχετε οὐκ ἀμνημονεῖτε. ὁρᾶτε δή μοι τὸν υἱὸν ὃν αὐτοὶ ἀνεθρέψασθε, ἄρτι τῆς μειρακίων ἡλικίας ἐπιβαίνοντα καὶ δεόμενον ὥσπερ ἐν χειμῶνι καὶ ζάλῃ τῶν κυβερνησόντων, μή ποι φερόμενος ὑπ´ ἀτελοῦς τῆς τῶν δεόντων ἐμπειρίας εἰς φαῦλα ἐπιτηδεύματα προσαραχθῇ. 4 γένεσθε δὴ οὖν αὐτῷ ὑμεῖς ἀνθ´ ἑνὸς ἐμοῦ πατέρες πολλοί, περιέποντές τε καὶ τὰ ἄριστα συμβουλεύοντες. οὔτε γὰρ χρημάτων πλῆθος οὐδὲν αὔταρκες πρὸς τυραννίδος ἀκρασίαν, οὔτε δυρυφόρων φρουρὰ ἱκανὴ ῥύεσθαι τὸν ἄρχοντα, εἰ μὴ προσυπάρχοι ἡ τῶν ὑπηκόων εὔνοια. 5 μάλιστα δὲ ἐκεῖνοι εἰς ἀρχῆς μῆκος ἀκινδύνως ἤλασαν, ὅσοι μὴ φόβον ἐξ ὠμότητος, πόθον δὲ <ἐκ> τῆς αὐτῶν χρηστότητος ταῖς τῶν ἀρχομένων ψυχαῖς ἐνέσταξαν. οὐ γὰρ οἱ ἐξ ἀνάγκης δουλεύοντες ἀλλ´ οἱ μετὰ πειθοῦς καὶ ἔξω κολακείας προσποιήτου ὑπακούοντες ἀνύποπτα δρῶντές τε καὶ πάσχοντες διατελοῦσι καὶ οὐδέ ποτε ἀφηνιάζουσιν, ἢν μὴ βίᾳ καὶ ὕβρει ἐπὶ τοῦτο ἀχθῶσι. 6 χαλεπὸν δὲ μετριάσαι τε καὶ ὅρον ἐπιθεῖναι ἐπιθυμίαις ὑπηρετούσης ἐξουσίας. τοιαῦτα δὴ

греків; про це свідчить і сказане, і написане ним, – те, що дійшло до нас. 4 І щодо підданих він виявляв себе належним і лагідним імператором: він вітав правицею тих, хто йшов йому назустріч, і забороняв своїм охоронцям відганяти випадкових перехожих. Він єдиний з імператорів був вірним філософії не на словах і не знанням учень, а благочестивою вдачею і поміркованим життям. Пора його правління породила безліч мудрих мужів, бо піддані майже завжди живуть, рвійно наслідуючи погляди правителя. 5 Тож ті його подвиги і мудрі діяння, що відзначалися військовою доблестю чи хистом у державних справах, що він звершив над варварськими народами, що населяють північ чи живуть на сході, описані багатьма мудрими мужами. Те ж, що після смерті Марка я за все моє життя побачив і почув, (а є серед тих [подій] і ті, в яких я сам брав участь, перебуваючи на імператорській службі чи обіймаючи громадські посади), – все це я описав.

[1,3] *Марка, старого не лише від віку, а й від знемоги трудів і турбот, під час перебування в Панноній вразила тяжка хвороба. Коли він уже здогадувався, що надія на порятунок слабка, дивився на сина, який починав вступати у молодий вік, боячись, аби квітуча молодість у сиротстві набувши одноосібної та необмеженої влади, не відкинула повіддя благородних наук і звичаїв і не піддалася пияцтву й бенкетам (дуже легко-бо душі юнаків, щойно зісковзнувши в утіхи, цураються благ виховання); 2 як мужа вченого вельми його страшила згадка про тих, хто перейняв владу в молодості: і про Діонісія, сицилійського тирана, який через надмірну нестриманість віддавався щораз новим утіхам за величезну плату; і про насилля і глум над підданими Александрових спадкоємців, через які вони зганьбили його державу; 3 і про Птолемея, який дійшов аж до пристрасті до власної сестри й тим зневажив закони македонян і еллінів, і про Антігона, який в усьому наслідував Діоніса й обвивав голову плющем замість касії та македонської діадеми, а замість скіпетра носив тирс; 4 та ще більше гнітили його не давні, а ще свіжі в пам'яті справи: вчинки Нерона, який дійшов до вбивства матері і народам показав себе посміховиськом; і зухвальства Доміціана, що нічим не поступалися проявам крайньої жорстокості. 5 Пригадавши такі приклади тиранії, він був пригнічений страхом і безнадією. Чимало його турбували й сусідні германці, яких він ще не всіх упокорив, але одних схилив до союзу силою переконання, а інших уже переміг зброєю; були й такі, які відступили й утекли, адже боялися тоді присутності такого могутнього імператора. Він остерігався, аби вони не напали на юнака, зневаживши його вік. Варвари-бо з легкістю приходять у рух з будь-якого приводу.*

[1,4] *Зі схвильованою такими роздумами душею він скликав друзів і присутніх родичів і, коли всі зібралися, поставив поруч сина й, підвівшись на ліжку, спокійно почав такими словами: 2 "У тому, що ви журитеся, споглядаючи мене в такому стані, немає нічого дивного: людське-бо співчуття народжується через нещастя кревних; потрапляючи ж на очі, болісне викликає ще більший жаль. Я ж уважаю, що у вашому ставленні до мене є щось навіть більше; бо з того, як я так ставлюся до вас, маю сподівання на вашу взаємну прихильність. 3 Тепер настала пора і мені відчути, що недарма стільки часу наділяв вас шаною й турботою, а вам – віддячити мені, показавши, що не забуваєте того, що вам пощастило отримати. Ви бачите мого сина, якого самі виховали, і який, саме вступаючи в юність, потребує вас, як керманичів у бурю і шторм, аби за браком досвіду в потрібних речах не збитися йому на манівці й не впасти до ницих звичаїв. 4 Адже ви стали йому численними батьками замість мене одного, піклуючись про нього й радячи йому найкраще. Бо ж ані безлік грошей аж ніяк не вдовольняє нестриманості тиранії, ані охорона не здатна врятувати правителя, якщо до них не додається прихильність підданих. 5 Безпечно владарювали весь відведений їм час насамперед ті, хто посіяв у душах підлеглих не страх через свою жорстокість, а потяг до своєї порядності. Адже не раби з примусу, а ті, хто кориться з послухом і без удаваної запопадливості, живуть увесь свій вік, не вчиняючи й не зазнаючи від інших нічого такого, що викликає острах, і ніколи не пускаються берега, хіба тільки будуть змушені до цього примусом і зневагою. 6 Тяжко, далебі, бути поміркованим*

συμβουλεύοντες αὐτῷ, καὶ ὧν ἀκούει παρὼν ὑπομιμνήσκοντες, ὑμῖν τε αὐτοῖς καὶ πᾶσιν ἄριστον ἀποδείξετε βασιλέα, τῇ τε ἐμῇ μνήμῃ χαριεῖσθε τὰ μέγιστα, οὕτω τε μόνως ἀίδιον αὐτὴν ποιῆσαι δυνήσεσθε." 7 τοσαῦτα εἰπόντα τὸν Μᾶρκον ἐπιπεσοῦσα λιποθυμία κατεσίγασεν· ὑπὸ δὲ ἀσθενείας τε καὶ ἀθυμίας αὖθις ὑπτίαζεν. οἵκτος δὲ πάντας ἑλάμβανε τοὺς παρόντας, ὡς μηδὲ κατασχόντας αὐτῶν τινὰς εἰς οἰμωγὴν ἀναβοῆσαι. ὃ μὲν οὖν νυκτός τε καὶ ἡμέρας ἐπιβιώσας μιᾶς ἀνεπαύσατο, πόθον τε τοῖς καθ´ αὐτὸν ἀνθρώποις ἐγκαταλιπὼν ἀρετῆς τε ἀίδιον μνήμην εἰς τὸν ἐσόμενον αἰῶνα. 8 τελευτήσαντος δὲ Μάρκου, ἐπειδὴ διεφοίτησεν ἡ φήμη, πᾶν τε τὸ παρὸν στρατιωτικὸν καὶ τὸ δημῶδες πλῆθος ὁμοίως πένθει κατείχετο, οὐδέ τις ἦν ἀνθρώπων τῶν ὑπὸ τὴν Ῥωμαίων ἀρχὴν ὃς ἀδακρυτὶ τοιαύτην ἀγγελίαν ἐδέχετο. πάντες δ´ ὥσπερ ἐκ μιᾶς φωνῆς, οἳ μὲν πατέρα χρηστόν, οἳ δ´ ἀγαθὸν βασιλέα, γενναῖον δὲ ἕτεροι στρατηγόν, οἳ δὲ σώφρονα καὶ κόσμιον ἄρχοντα ἀνεκάλουν, καὶ οὐδεὶς ἐψεύδετο.

[1,5] ὀλίγων δὲ διελθουσῶν ἡμερῶν, ἐν ὅσαις περὶ τὴν κηδείαν τοῦ πατρὸς τὸν υἱὸν ἀπησχόλουν, ἔδοξε τοῖς φίλοις προαγαγεῖν τὸ μειράκιον εἰς τὸ στρατόπεδον, ὡς ἂν διαλεχθείη τε τοῖς στρατιώταις, καὶ χρήματα δωρησάμενος, ὡς ἔθος ἐστὶ τοῖς βασιλείαν διαδεχομένοις, μεγαλόφρονι ἐπιδόσει οἰκειώσηται τὸ στράτευμα. 2 παρηγγέλθη τε δὴ πᾶσιν ἐλθεῖν εἰς τὸ εἰωθὸς πεδίον αὐτοὺς ὑποδέχεσθαι. προελθὼν δὲ ὁ Κόμοδος τάς τε βασιλείους θυσίας ἐπετέλει, καὶ βήματος αὐτῷ εἰς ὕψος ἀρθέντος ἐν μέσῳ τῷ στρατοπέδῳ, ἀνελθὼν ἐπ´ αὐτὸ καὶ περιστησάμενος τοὺς πατρῴους φίλους (πολλοὶ δὲ καὶ λόγιοι παρῆσαν αὐτῷ) ἔλεξε τοιάδε· 3 "κοινὴν εἶναί μοι πρὸς ὑμᾶς τὴν ἐπὶ τοῖς καταλαβοῦσιν ἀλγηδόνα καὶ μηδέν τι ἧττον ὑμᾶς ἐμοῦ δυσφορεῖν ἐμαυτὸν ἀκριβῶς πέπεικα. οὐδὲ γὰρ περιόντος μοι τοῦ πατρὸς πλεονεκτεῖν ὑμῶν ἠξίουν. ἐκεῖνος γὰρ πάντας ἡμᾶς ὡς ἕνα ἠγάπα. ἔχαιρε γοῦν μᾶλλον συστρατιώτην με ἢ υἱὸν καλῶν· τὴν μὲν γὰρ [προσηγορίαν] ἠγεῖτο φύσεως, τὴν δ´ ἀρετῆς κοινωνίαν. φέρων τέ με πολλάκις ἔτι νήπιον ὄντα ταῖς ὑμετέραις ἐνεχείρισε πίστεσι. 4 διόπερ καὶ ῥᾷστα πάσης εὐνοίας μεθέξειν πρὸς ὑμῶν ἤλπικα, τῶν μὲν πρεσβυτέρων τροφεῖά μοι ταῦτα ὀφειλόντων, τοὺς δ´ ἡλικιώτας εἰκότως ἂν καὶ συμφοιτητὰς τῶν ἐν ὅπλοις ἔργων ἀποκαλοίην· πάντας γὰρ ἡμᾶς ὡς ἕνα ὁ πατὴρ ἐφίλει τε καὶ πᾶσαν ἀρετὴν ἐπαίδευεν. 5 ἔδωκε δὲ μετ´ ἐκεῖνον ἐμὲ βασιλέα ἡ τύχη, οὐκ ἐπείσακτον, ὥσπερ οἱ πρὸ ἐμοῦ προσκτήτῳ σεμνυνόμενοι ἀρχῇ, ἀλλὰ μόνος τε ὑμῖν ἐγὼ ἐν τοῖς βασιλείοις ἀπεκυήθην, καὶ μὴ πειραθέντα με ἰδιωτικῶν σπαργάνων ἅμα τῷ τῆς γαστρὸς προελθεῖν ἡ βασίλειος ὑπεδέξατο πορφύρα, ὁμοῦ δέ με εἶδεν ἥλιος ἄνθρωπον καὶ βασιλέα. 6 εἰκότως οὖν ταῦτα λογιζόμενοι στέργοιτε οὐ δοθέντα ὑμῖν ἀλλὰ γεννηθέντα αὐτοκράτορα. ὁ μὲν γὰρ πατὴρ εἰς οὐρανὸν ἀναπτὰς ὀπαδὸς ἤδη καὶ σύνεδρός ἐστι θεῶν· ἡμῖν δὲ χρὴ μέλειν τῶν ἐν ἀνθρώποις καὶ τὰ ἐπὶ γῆς διοικεῖν. κατορθοῦν δὲ αὐτὰ καὶ βεβαιοῦν ὑμέτερον ἔργον, εἰ τά τε τοῦ πολέμου λείψανα μετὰ πάσης ἀνδρείας ἀπαλείψαιτε καὶ τὴν Ῥωμαίων ἀρχὴν μέχρις ὠκεανοῦ προαγάγοιτε. 7 ὑμῖν τε γὰρ ταῦτα δόξαν οἴσει καὶ τὴν τοῦ κοινοῦ πατρὸς μνήμην χάρισιν ἀξίαις οὕτως ἀμείψεσθε· ὃν ἐπακούειν τε τῶν λεγομένων καὶ τὰ πραττόμενα ἐφορᾶν ἡγεῖσθε. εὐδαιμονοίημεν δ´ ἂν τὰ δέοντα πράττοντες ὑπὸ τοιούτῳ μάρτυρι. καὶ τὰ μὲν πρότερον ὑμῖν ἀνδρείως κατορθωθέντα εἰς τὴν ἐκείνου σοφίαν τε καὶ στρατηγίαν τὴν ἀναφορὰν εἶχεν· ὅσα δ´ ἂν σὺν ἐμοὶ βασιλεῖ νέῳ προθύμως ἐπιδείξησθε, <ἐκ> τούτων αὐτοὶ τὴν δόξαν πίστεώς τε ἀγαθῆς καὶ ἀνδρείας <αὐτοὶ> ἀποίσεσθε. 8 τό τε ἐν ἡμῖν νέον σεμνότητος πληρώσετε τῇ τῶν ὑμετέρων ἔργων ἀνδραγαθίᾳ. τὸ βάρβαρον δὲ ἐν ἀρχῇ νέας ἡγεμονίας κολασθὲν οὔτε εἰς τὸ παρὸν καταθαρσήσει τῆς ἡμετέρας ἡλικίας καταφρονῆσαν, τά τε μέλλοντα φοβήσεται δέει τῶν πεπειραμένων". τοσαῦτα ὁ Κόμοδος εἰπὼν καὶ μεγαλοφρόνως δωρεαῖς χρημάτων οἰκειωσάμενος τὸ στρατιωτικόν, εἰς τὴν βασίλειον ἐπανῆλθεν αὐλήν.

[1,6] ὀλίγου μὲν οὖν τινὸς χρόνου πάντα ἐπράττετο τῇ γνώμῃ τῶν πατρῴων φίλων, οἳ πανημέριοι συνῆσαν αὐτῷ τὰ βέλτιστα συμβουλεύοντες, καὶ τοσοῦτον ἐνδιδόντες χρόνον, ὅσον ἐνόμιζον αὐτάρκη πρὸς σώφρονα τοῦ σώματος ἐπιμέλειαν. παρεισδύντες δέ τινες τῶν ἐπὶ τῆς αὐλῆς οἰκετῶν διαφθείρειν ἐπειρῶντο νέον ἦθος βασιλέως, ὅσοι τε κόλακες τραπέζης [καὶ] τὸ εὔδαιμον γαστρὶ καὶ τοῖς αἰσχίστοις μετροῦσιν ὑπεμίμνησκον αὐτὸν τῆς ἐν Ῥώμῃ τρυφῆς, θεάματά τε καὶ ἀκούσματα τερπνὰ διηγούμενοι τήν τε τῶν ἐπιτηδείων δαψίλειαν καταριθμοῦντες διαβάλλοντές τε πᾶσαν τὴν

і ставити межу прагненням, якщо влада є [твоєю] служницею. Радячи йому таке і нагадуючи йому те, що він, присутній тут, і сам чує, ви зробите його найкращим імператором для вас самих і для всіх [загалом], і цим найбільше віддячите моїй пам'яті й лише так зможете зробити її вічною". 7 Коли Марк це сказав, він змовк, втративши свідомість, і знову знесилено і розпачливо впав на ліжко. Усіх присутніх охопила туга, так що дехто з них не стримався і жалібно заголосив. А він, проживши ще одну ніч і один день, спочив, залишивши наближеним скорботу і вічну пам'ять про свою доброчесність на прийдешній вік. 8 Коли Марк помер, і звістка про це поширилася, все присутнє військо і народ однакове охопило горе, і не було такої людини в Римській державі, яка би прийняла таку звістку без сліз. Усі були суголосні: одні називали його хорошим батьком, другі – доброчесним імператором, треті – блискучим полководцем, четверті – мудрим і скромним правителем, і ніхто не говорив нещиро.

[1,5] *Кількома днями пізніше, впродовж яких друзі цілковито займали сина похороном батька, здалося їм за краще привести юнака до військового табору, аби він поспілкувався із солдатами й, обдаривши їх грішми, як це прийнято у спадкоємців імператорської влади, щедрими роздачами прихилив до себе військо. 2 Усім було сповіщено, аби вони прийшли для [імператорського] прийому на поле, де зазвичай збиралися. Комод, прибувши, звершив імператорські жертвоприношення і, коли для нього спорудили високий поміст посеред табору, зійшов на нього і, розмістивши довкола себе батькових друзів (а їх, учених людей, у нього було багато), сказав таке: 3 "Я щиро переконаний, що вас охопило спільне з моїм горе у зв'язку з раптовими подіями; через те, що сталося, і ви страждаєте нітрохи не менше за мене. Адже й коли мій батько був живий, я не вважав себе вищим за вас. Він-бо любив усіх вас, як одного. Батько радше називав мене товаришем по зброї, аніж сином, позаяк одне [ймення] вважав природним, а інше – співпричетністю до доброчесності. Та й часто доручав він мене, ще дитям, вашій опіці. 4 Через це я сподіваюся в майбутньому дуже легко відчути від вас усіляку прихильність, адже старші [з вас] так опікувалися мною, а однолітків, безумовно, я би назвав і товаришами по навчанню військової справи: усіх-бо нас батько любив як одного і навчав усілякої доброчесності. 5 Після нього доля дала вам імператором мене, не чужинця, як мої попередники, що пишалися набутою владою, але єдиного, народженого вам в імператорському палаці, і царська порфира одразу після виходу з материнського лона прийняла мене, що не звідав навіть простих пелен, і сонце побачило мене водночас людиною й імператором. 6 Звісно, враховуючи це, ви любитимете мене, не наданого вам, а вродженого правителя. Батько-бо, вознісшись на небеса, вже є супутником і співрадником богів; нам же слід дбати про людське і керувати земними справами. Успішно доводити до кінця й укріплювати їх – ваша звитяга, якщо з усією відвагою довершите війну та розширите межі Римської держави до океану. 7 Це-бо принесе вам славу, і так ви гідною вдячністю вшануєте пам'ять нашого спільного батька, який, як ви міркуєте, слухає те, що говориться, і стежить за тим, що чиниться. Ми мали б за щастя чинити належне при такому свідкові. Своїми давнішими мужніми звершеннями ви завдячуєте його мудрості та військовому талантові; а наскільки ревно ви підтримуватимете мене, нового імператора, стільки й самі здобудете слави шляхетної вірності та мужності. 8 Нашу ж молодість ви наповните величчю ваших подвигів. Варвари ж, покарані на початку нового правління, відтепер не наважуватимуться, погордувавши нашою молодістю, нам протистояти, а в майбутньому боятимуться вже пережитого". Сказавши таке і прихиливши військо щедрою роздачею грошей, Комод повернувся до імператорського палацу.*

[1,6] *Та недовго усе чинилося за задумом батькових друзів, які щодень були поруч з Комодом, радячи йому найкраще, і приділяли йому стільки часу, скільки вважали достатнім для розумної турботи за тілом. Деякі з придворних, які увійшли до нього в довіру, намагалися розбестити молоду вдачу імператора, – застільні підлабузники, що вимірюють щастя шлунком і найомерзеннішими речами, – нагадували йому про римську розкіш, розповідали про потішні видовища та музичні вистави, перелічували розмаїття страв, ганили всяку погоду на берегах*

ἐπὶ ταῖς ὄχθαις τοῦ Ἴστρου ὥραν, μήτε ὀπώρας εὔφορον κρυεράν τε ἀεὶ καὶ συννεφῆ. 2 "οὐ παύσῃ δὲ, – ἔλεγον, – ὦ δέσποτα, πηγνύμενόν τε καὶ ὀρυττόμενον πίνων ὕδωρ; ἄλλοι δὲ ἀπολαύσουσι πηγῶν τε θερμῶν καὶ ψυχροῦ νάματος ἀτμίδων τε καὶ ἀέρων, ὧν Ἰταλία μόνη εὔφορος;" τοιαῦτα δή τινα τῷ μειρακίῳ ὑποτυπούμενοι ἤγειρον αὐτοῦ τὰς ὀρέξεις ἐς τὴν ἡδονῶν ἐπιθυμίαν. 3 αἰφνιδίως δὲ καλέσας τοὺς φίλους ποθεῖν ἔλεγε τὴν πατρίδα· ὁμολογεῖν δὲ τὰς αἰτίας τῆς αἰφνιδίου ὁρμῆς αἰδούμενος, δεδιέναι προσεποιεῖτο, μή τις ἐκεῖσε προκαταλάβοι τὴν βασίλειον ἑστίαν τῶν εὐπατριδῶν <ἡ> πλουσίων, εἶθ´ ὥσπερ ἐξ ὀχυρᾶς ἀκροπόλεως δύναμιν καὶ περιβολὴν συγκροτήσας ἐπιθῆται τῇ ἀρχῇ. αὐτάρκης δὲ ὁ δῆμος χορηγῆσαι πλῆθος ἐπιλέκτων νεανιῶν. 4 τοιαῦτά τινα προφασιζομένου τοῦ μειρακίου οἱ μὲν ἄλλοι συνεστάλησάν τε τὴν ψυχήν, καὶ σκυθρωπαῖς ταῖς ὄψεσιν εἰς γῆν ἔνευσαν. Πομπηιανὸς δέ, ὃς πρεσβύτατός τε ἦν ἁπάντων καὶ κατ´ ἐπιγαμίαν προσήκων αὐτῷ (συνῴκει γὰρ τῇ πρεσβυτάτῃ τῶν ἀδελφῶν τοῦ Κομόδου), "ποθεῖν μέν σε, – ἔφη, – τέκνον καὶ δέσποτα, τὴν πατρίδα εἰκός· καὶ γὰρ αὐτοὶ τῶν οἴκοι ὁμοίᾳ ἐπιθυμίᾳ ἑαλώκαμεν. 5 ἀλλὰ τὰ ἐνταῦθα προυργιαίτερα ὄντα καὶ μᾶλλον ἐπείγοντα ἐπέχει τὴν ἐπιθυμίαν. τῶν μὲν γὰρ ἐκεῖσε καὶ ὕστερον ἐπὶ πλεῖστον αἰῶνα ἀπολαύσεις, ἐκεῖ τε ἡ Ῥώμη, ὅπου ποτ´ ἂν ὁ βασιλεὺς ᾖ. τὸν δὲ πόλεμον ἀτελῆ καταλιπεῖν μετὰ τοῦ ἀπρεποῦς καὶ ἐπισφαλές. θάρσος γὰρ ἐμβαλοῦμεν τοῖς βαρβάροις, οὐκ ἐπανόδου πόθον ἀλλὰ φυγὴν καὶ δέος ἡμῶν καταγνοῦσι. 6 καλὸν δέ σοι χειρωσαμένῳ πάντας αὐτοὺς καὶ τῷ ὑπὸ τὴν ἄρκτον ὠκεανῷ τὴν ἀρχὴν ὁρίσαντι ἐπανελθεῖν οἴκαδε θριαμβεύοντί τε καὶ δεσμίους ἀπάγοντι καὶ αἰχμαλώτους βασιλεῖς τε καὶ σατράπας βαρβάρους. τούτοις γὰρ οἱ πρὸ σοῦ Ῥωμαῖοι μεγάλοι τε καὶ ἔνδοξοι γεγόνασι. δεδιέναι δέ σε οὐ χρή, μή τις ἐκεῖ τοῖς πράγμασιν ἐπιθῆται. οἵ τε γὰρ ἄριστοι τῆς βουλῆς ἐνταῦθα σὺν σοί, ἥ τε στρατιωτικὴ δύναμις παροῦσα πᾶσα τῆς σῆς ἀρχῆς προασπίζει· ταμιεῖά τε χρημάτων βασιλικῶν ἐνταῦθα πάντα· ἥ τε τοῦ πατρὸς μνήμη αἰώνιόν σοι πίστιν καὶ εὔνοιαν παρὰ τῶν ἀρχομένων ἐβεβαίωσεν". 7 τοιαῦτά τινα εἰς προτροπὴν καὶ τὴν πρὸς τὰ κρείττονα ὁρμὴν ὁ Πομπηιανὸς εἰπὼν διέτρεψε πρὸς ὀλίγον τὸ μειράκιον. αἰδεσθεὶς γὰρ ὁ Κόμοδος τὰ λεχθέντα, οὐδέν τε οἷός τε ὢν εὐλόγως ἀποκρίνασθαι, τοὺς φίλους ἀπεπέμψατο, φήσας ἀκριβέστερον καθ´ αὑτὸν ἐπισκέψεσθαι τὸ πρακτέον. 8 ἐγκειμένων δὲ τῶν περὶ αὐτὸν θεραπόντων οὐκέτι μὲν τοῖς φίλοις οὐδὲν ἐκοινώσατο, ἐκπέμψας δὲ γράμματα, καὶ διανείμας οἷς ἐδοκίμασε τῆς ὄχθης τοῦ Ἴστρου τὴν πρόνοιαν προστάξας τε αὐτοῖς ἀνέχειν τὰς τῶν βαρβάρων ἐπιδρομάς, ἐπαγγέλλει τὴν ἔξοδον. οἱ μὲν οὖν διώκουν τὰ ἐγκεχειρισμένα· οἳ καὶ οὐ πολλῷ χρόνῳ πλείστους τῶν βαρβάρων ὅπλοις ἐχειρώσαντο, τοὺς δὲ ἐπὶ μεγάλαις συντάξεσιν ἐς φιλίαν ἐπηγάγοντο ῥᾷστα πείσαντες. 9 φύσει γὰρ τὸ βάρβαρον φιλοχρήματον, καὶ κινδύνων καταφρονήσαντες ἢ δι´ ἐπιδρομῆς καὶ ἐφόδου τὸ χρειῶδες πρὸς τὸν βίον πορίζονται, ἢ μεγάλων μισθῶν τὴν εἰρήνην ἀντικαταλλάσσονται. ἅπερ ὁ Κόμοδος εἰδὼς καὶ τὸ ἀμέριμνον ὠνούμενος ἀφειδῶς τε ἔχων χρημάτων, πάντα ἐδίδου τὰ αἰτούμενα.

[1,7] τῆς δὲ ἐξόδου διαγγελθείσης κίνησις δὴ μεγίστη καταλαμβάνει τὸ στρατόπεδον, καὶ πάντες αὐτῷ συναπελθεῖν ἤθελον, ὡς ἀπαλλαγεῖεν μὲν τῆς ἐν τῇ πολεμίᾳ διατριβῆς, ἀπολαύσειαν δὲ τῆς ἐν Ῥώμῃ τρυφῆς. ἐπειδὴ δὲ διεφοίτησεν ἡ φήμη ἄγγελοί τε ἦκον κηρύττοντες τὴν τοῦ βασιλέως ἄφιξιν, ὑπερήσθη τε ὁ Ῥωμαίων δῆμος καὶ χρηστὰς εἶχεν ἐλπίδας νέου αὐτοκράτορος ἐπιδημίᾳ, πατρῴζειν τὸ μειράκιον ἡγούμενοι. 2 ἀνύσας δὲ τὴν ὁδοιπορίαν ὁ Κόμοδος μετὰ νεανικῆς σπουδῆς καὶ διαδραμὼν τὰς ἐν μέσῳ πόλεις, ὑποδεχθείς τε πανταχοῦ βασιλικῶς καὶ δήμοις ἑορτάζουσιν ἐπιφανείς, ἀσπαστός τε καὶ ποθεινὸς πᾶσιν ὤφθη. 3 ὡς δὲ πλησίον ἐγένετο τῆς Ῥώμης, πᾶσά τε ἡ σύγκλητος βουλὴ καὶ πανδημεὶ ὅσοι τὴν Ῥώμην κατῴκουν ἄνθρωποι, μὴ κατασχόντες αὐτῶν ἀλλ´ ἕκαστος φθάσαι θέλων, δαφνηφόροι τε καὶ πάντα ἐπιφερόμενοι ἄνθη τότε ἀκμάζοντα, ὡς ἕκαστος οἷός τε ἦν, πόρρω τῆς πόλεως ὑπήντων, θεασόμενοι τὸν νέον καὶ εὐγενῆ βασιλέα. 4 ἐπόθουν γὰρ αὐτὸν ἀληθεῖ ψυχῆς διαθέσει ἅτε παρ´ αὐτοῖς γεννηθέντα τε καὶ τραφέντα καὶ ἄνωθεν ἐκ τριγονίας βασιλέα τε καὶ εὐπατρίδην ὄντα Ῥωμαίων. τὸ μὲν γὰρ πρὸς πατρὸς αὐτῷ γένος ἐκ τῶν τῆς συγκλήτου βουλῆς ἐπισήμων ἦν· Φαυστῖνα δ´ ἡ μήτηρ βασίλισσα γεγένητο θυγάτηρ τε οὖσα Ἀντωνίνου τοῦ Εὐσεβοῦς ἐπικληθέντος, καὶ Ἀδριανοῦ ἔκγονος [κατὰ θηλυγονίαν]· ἀνήνεγκε δὲ τὸ γένος αὖτη ἐπὶ Τραϊανὸν πρόπαππον. 5 γένους μὲν οὖν ὁ Κόμοδος οὕτως εἶχε, πρὸς δὲ τῇ τῆς ἡλικίας ἀκμῇ καὶ τὴν ὄψιν ἦν ἀξιοθέατος σώματός τε συμμετρίᾳ καὶ κάλλει προσώπου μετ´ ἀνδρείας. ὀφθαλμῶν τε γὰρ

Істру, як несприятливу, завжди холодну і хмарну. 2 "Чи не набридло тобі, – казали вони, – володарю, пити крижану й добуту з-під землі воду? Інші ж насолоджуватимуться гарячими джерелами, прохолодними потоками, благодатними випарами та повітрям, якими багата одна тільки Італія". Змальовуючи таке-ось юнакові, вони пробуджували в ньому прагнення до насолод. 3 Тож, несподівано скликавши друзів, він сказав їм, що скучив за батьківщиною; соромлячись, проте, визнати причини наглого пориву, удавав, що ніби боїться, аби хтось із тамтешніх патриціїв чи багатіїв не випередив його та не захопив імператорський палац, а потім, наче з неприступної фортеці, не зібрав військо й прибічників та не прибрав до рук владу: народбо зміг би надати [для такої справи] багато претендентів. 4. Тоді, як він так-ось виправдовувався, всі інші засмутилися в душі і понуро втупили свій погляд у землю. Помпеян же, який був з усіх найстаршим і доводився йому пошлюбним родичем (бо був у шлюбі з найстаршою із сестер Комода), сказав: "З одного боку, природно, дитино і царю, що ти тужиш за батьківщиною: ми й самі охоплені подібною тугою за усім, що вдома. 5 Але тутешні справи, важливіші та нагальніші, стримують це прагнення. Тим, що там, ти ще потім насолоджуватимешся довгий вік; Рим же є там, де б не був імператор. Покинути незакінчену війну – негідно й ризиковано. Ми дамо привід варварам нахабніти, і вони признають за нами не потяг повернутися додому, а втечу і страх. 6. Для тебе було б добре, перемігши всіх їх і розширивши межі імперії до північного океану, повернутися додому з тріумфом, ведучи за собою бранців та полонених варварських царів і сатрапів. Такими-бо ділами римляни, твої попередники, стали великими і славними. Боятися ж, аби хтось там не посягнув на твою владу, тобі не слід. Адже й найкращі мужі сенату тут з тобою; і все наявне військо охороняє твою владу; й імператорська скарбниця вся тут; а пам'ять про твого батька укріпила у підданих вічну вірність і прихильність до тебе". 7 Сказавши дещо таке для підбадьорення і заохочення до кращих справ, Помпеян ненадовго стримав юнака. Комод, присоромлений сказаним і неспроможний нічого до ладу відповісти, розпустив друзів, сказавши, що має наодинці обміркувати, що йому слід чинити. 8 Та за наполяганням своїх прислужників він уже нічого не розповів друзям, а, розіславши листи й виділивши кого вважав за потрібне для охорони берегів Істру з наказом стримувати набіги варварів, оголосив, що вирушає в дорогу. Відтак вони виконували те, що їм було доручено: за короткий час вони здолали більшість варварів зброєю, а деяких великим підкупом легко переконали і схилили до союзу. 9 Варвари-бо від природи жадібні до грошей і, нехтуючи небезпеками, або набігами й нападами добувають собі необхідне для життя, або погоджуються на мир в обмін на велику платню. Знаючи це і купуючи собі безжурність (він-бо мав предостатньо грошей), Комод давав їм усе, що вони просили.

[1,7] *Після оголошення відходу табір охопив вельми великий рух, бо всі хотіли відбути разом з ним, аби позбутися докучливого життя на ворожій землі й натомість насолодитися римською розкішшю. Коли поширилася звістка і прибули вісники, сповіщаючи про приїзд імператора, римський народ зрадів, позаяк і покладав хороші сподівання на присутність нового імператора, вважаючи, що юнак наслідуватиме батька. 2 З молодечим поспіхом звершивши подорож і швидко проїхавши через міста, що були на шляху, Комод, будучи скрізь прийнятим по-царськи і показуючи себе святочному народові, усім видався милим і бажаним. 3 Коли він наблизився до Риму, весь сенат і весь люд, що його населяв, не стримуючись, але воліючи випередити один одного, увінчані лавровими вінками і несучи всі на ту пору розквітлі квіти, хто як був годен, вийшли йому назустріч іще далеко перед містом, аби побачити нового і благородного імператора. 4 Вони щиросердно жадали його, бо серед них народився і зріс він – римський імператор і патрицій у третьому поколінні. По батькові він походив з роду видатних сенаторів; мати ж Фаустина народилася імператрицею, будучи дочкою Антоніна, названого Благочестивим, і була нащадком Адріана по жіночій лінії, а її рід брав початок від прадіда Траяна. 5 Такий у Комода був рід; до цвіту юності додавалася ще й гідна погляду зовнішність, пропорційність статури і мужнє обличчя. Привітний і палкий погляд; волосся, настільки природно золотисте й витке, що, коли його освітлювало сонце, воно сяяло мов*

ἀρθμίαι καὶ πυρώδεις βολαί, κόμη τε φύσει ξανθὴ καὶ οὖλη, ὡς, εἴποτε φοιτῴη δι´ ἡλίου, τοσοῦτον ἐκλάμπειν αὐτῷ πυροειδές τι, ὡς τοὺς μὲν οἴεσθαι ῥίνημα χρυσοῦ προιόντι ἐπιπάσσεσθαι, τοὺς δὲ ἐκθειάζειν, λέγοντας αἴγλην τινὰ οὐράνιον περὶ τῇ κεφαλῇ συγγενεῖσθαι αὐτῷ· ἴουλοί τε αὐτοῦ κατιόντες ταῖς παρειαῖς ἐπήνθουν. 6 τοιοῦτον δὴ θεασάμενοι τὸν βασιλέα οἱ Ῥωμαῖοι, εὐφημίαις τε παντοδαπαῖς καὶ στεφάνων καὶ ἀνθέων βολαῖς ὑπεδέχοντο. ὡς δ´ εἰς τὴν Ῥώμην εἰσήλασεν, εἰς τε τοῦ Διὸς τὸ τέμενος καὶ τοὺς ἄλλους νεὼς ἀνελθὼν εὐθὺς τῇ τε συγκλήτῳ καὶ τοῖς ἐν Ῥώμῃ καταλειφθεῖσι στρατιώταις χαριστήρια ὁμολογήσας τῆς φυλαχθείσης πίστεως, εἰς τὴν βασίλειον αὐλὴν ἀνεχώρησεν.

[1,8] χρόνου μὲν οὖν τινὸς ὀλίγων ἐτῶν τιμὴν πᾶσαν ἀπένεμε τοῖς πατρῴοις φίλοις, πάντα τε ἔπραττεν ἐκείνοις συμβούλοις χρώμενος. ἐπεὶ δὲ τὴν πρόνοιαν ἐνεχείρισε τῆς ἀρχῆς ἑαυτῷ, ἐπιστήσας τοῖς στρατοπέδοις Περέννιον, ἄνδρα τὸ μὲν γένος Ἰταλιώτην, στρατιωτικὸν δ´ εἶναι δοκοῦντα (διὸ καὶ μάλιστα αὐτὸν ἔπαρχον ἐποίησε τῶν στρατοπέδων), τῇ τοῦ μειρακίου ἀποχρώμενος ἡλικίᾳ ἐκεῖνος εἴασεν αὐτὸν τρυφαῖς σχολάζοντα καὶ κραιπάλαις <…> τῆς τε φροντίδος καὶ τῶν βασιλείων καμάτων ἀπῆγεν αὐτόν, 2 πᾶσαν δὲ τὴν διοίκησιν τῆς ἀρχῆς αὐτὸς ἀνεδέξατο πλούτου τε ἀκρατήτῳ ἐπιθυμίᾳ καὶ τῶν μὲν προσκτωμένων ἀεὶ καταφρονήσει, τῶν δ´ οὔπω παρόντων ἁπλήστῳ ἀντιποιήσει. τούς τε πατρῴους φίλους πρῶτος διαβάλλειν ἤρξατο, καὶ ὅσοι πλούσιοί τε ἦσαν καὶ εὐγενεῖς, τούτους εἰς ὑποψίαν ἄγων τὸ μειράκιον ἐφόβει, ὡς ἂν αὐτοὺς διαχρησάμενος ἀφορμὴν αὐτῷ παράσχοι καὶ ἐξουσίαν ἁρπάζειν τὰ ἐκείνων κτήματα. 3 μέχρι μὲν οὖν τινὸς ἐπεῖχε τὸν νεανίσκον ἥ τε τοῦ πατρὸς μνήμη καὶ ἡ πρὸς τοὺς φίλους αἰδώς. ἀλλὰ γάρ, ὥσπερ τινὸς πονηρᾶς καὶ βασκάνου τύχης ἀνατρεπούσης αὐτοῦ τὸ ἔτι σῶφρον καὶ κόσμιον, συνέβη τι τοιοῦτον. Λουκίλλα ἦν τῷ Κομόδῳ πρεσβυτάτη πάντων ἀδελφή. αὕτη πρότερον Λουκίῳ Βήρῳ αὐτοκράτορι συνῴκει, ὃν κοινωνὸν τῆς βασιλείας Μᾶρκος ποιησάμενος, ἐκδούς τε αὐτῷ τὴν θυγατέρα, δεσμὸν εὐνοίας ἐχυρώτατον τὴν πρὸς αὐτὸν ἐπιγαμίαν ἐποιήσατο. ἀλλ´ ἐπεὶ συνέβη τὸν Λούκιον τελευτῆσαι, μενόντων τῇ Λουκίλλῃ τῶν τῆς βασιλείας συμβόλων Πομπηιανῷ ὁ πατὴρ ἐξέδοτο αὐτήν. 4 οὐδὲν ἧττον μέντοι καὶ ὁ Κόμοδος ἐφύλαττε τὰς τιμὰς τῇ ἀδελφῇ· καὶ γὰρ ἐπὶ τοῦ βασιλείου θρόνου καθῆστο ἐν τοῖς θεάτροις, καὶ τὸ πῦρ προεπόμπευεν αὐτῆς. ἐπεὶ δὲ ὁ Κόμοδος γυναῖκα ἠγάγετο, Κρισπῖναν ὄνομα, ἀνάγκη τε ἐγένετο τὴν προεδρίαν ἀπονέμεσθαι τῇ τοῦ βασιλεύοντος γυναικί, δυσφόρως τοῦτο φέρουσα ἡ Λουκίλλα, καὶ τὴν ἐκείνης τιμὴν ἑαυτῆς ὕβριν νομίζουσα, τὸν μὲν ἑαυτῆς ἄνδρα [Πομπηιανὸν] εἰδυῖα ἀγαπῶντα τὸν Κόμοδον, οὐδὲν αὐτῷ περὶ ἐπιθέσεως τῆς ἀρχῆς ἀνακοινοῦται, Κοδράτου δέ, νεανίσκου εὐγενοῦς τινος καὶ πλουσίου, ἐφ´ οὗ καὶ λανθανούσῃ συνουσίᾳ διεβάλλετο, πεῖραν τῆς γνώμης λαμβάνουσα, περί τε τῆς προεδρίας συνεχῶς <πρὸς αὐτὸν> ἀπωδύρετο, καὶ κατ´ ὀλίγον ἀνέπεισε τὸν νεανίσκον ὀλέθρια βουλεύσασθαι αὐτῷ τε καὶ πάσῃ τῇ συγκλήτῳ. 5 συνωμότας γὰρ ἐκεῖνος τῆς βουλῆς λαβών τινας τῶν ἐξεχόντων ἀναπείθει νεανίσκον τινά, καὶ αὐτὸν ὄντα τῆς βουλῆς, Κυιντιανὸν ὄνομα, προπετῆ δὲ καὶ θρασύν, λαβόντα ἐγχειρίδιον ὑπὸ κόλπου, καιρὸν φυλάξαντα καὶ τόπον ἐπιτήδειον, ἐπιπεσεῖν τε τῷ Κομόδῳ καὶ φονεῦσαι, τὰ λοιπὰ φήσας αὐτὸς κατορθώσεσθαι χρημάτων ἐπιδόσει. 6 ὃ δ´ ὑποστὰς ἐν τῇ τοῦ ἀμφιθεάτρου εἰσόδῳ (ζοφώδης δὲ αὕτη, διὸ καὶ λήσεσθαι ἤλπισε), γυμνώσας τὸ ξιφίδιον, ἐπελθών τε αἰφνιδίως τῷ Κομόδῳ, καὶ μεγάλῃ φωνῇ προειπὼν ὑπὸ τῆς συγκλήτου αὐτῷ ἐπιπεπέμφθαι, τρῶσαι μὴ φθάσας, ἀλλ´ ἐν ᾧ περὶ τὴν τῶν ῥημάτων προφορὰν ἠσχολεῖτο καὶ τὴν δεῖξιν τοῦ ξίφους, συλληφθεὶς ὑπὸ τῶν σωματοφυλάκων τοῦ βασιλέως δίκην ἀνοίας ὑπέσχεν, ὃς προεῖπε τὸ βεβουλευμένον μᾶλλον ἢ ἔδρασε, παρέσχε τε αὐτῷ μὲν προγνωσθέντι ἁλῶσαι, ἐκείνῳ δὲ προμαθόντι φυλάξασθαι. 7 αὕτη μὲν δὴ πρώτη καὶ μεγίστη αἰτία τῷ μειρακίῳ μίσους ἐγένετο πρὸς τὴν σύγκλητον βουλήν· ἔτρωσέ τε αὐτοῦ τὴν ψυχὴν τὰ λεχθέντα, καὶ κοινοὺς ἐχθροὺς πάντας ἡγεῖτο, μεμνημένος ἀεὶ τῆς τοῦ ἐπιδραμόντος φωνῆς. 8 ὑπῆρξε δὲ καὶ τῷ Περεννίῳ πρόφασίς τε καὶ ὑπόθεσις αὐτάρκης· ἐκκόπτειν γὰρ ἀεὶ καὶ κολούειν αὐτῷ συνεβούλευε τοὺς ὑπερέχοντας, ὧν ἁρπάζων τὰς οὐσίας ῥᾷστα πλουσιώτατος ἐγένετο τῶν καθ´ αὐτὸν ἀνθρώπων. γενομένης δ´ ἐξετάσεως διὰ τοῦ Περεννίου ἀκριβεστέρας τήν τε ἀδελφὴν ὁ Κόμοδος διεχρήσατο καὶ πάντας ἀφειδῶς τούς τε ὄντας ἐν τῇ συνωμοσίᾳ καὶ τοὺς ἐφ´ οἱαισδήποτε διαβληθέντας ὑποψίαις.

[1,9] ὁ δὲ Περέννιος ἀποσκευασάμενος πάντας, οὓς καὶ ὁ Κόμοδος ᾐδεῖτο καὶ ὅσοι πατρῴαν αὐτῷ εὔνοιαν ἐπεδείκνυντο τῆς τε ἐκείνου σωτηρίας προμήθειαν εἶχον, ποιησάμενός τε αὐτὸν ἐπ´

вогонь; через те одні вважали, що його перед виходом осипають золотою стружкою, інші боготворили його, говорячи, що навколо голови у нього від народження з'явилося немовби небесне сяйво; на щоках починав пробиватися перший пушок. 6 Споглянувши на такого імператора, римляни вітали його усіляко прославляючи, кидаючи йому вінки та квіти. Коли ж він увійшов у Рим, піднявся до святилища Юпітера та інших храмів, то одразу подякував сенатові та воїнам, що залишалися в Римі, за збережену вірність, а потім відбув до імператорського палацу.

[1,8] *Протягом декількох років він наділяв батькових друзів усілякою шаною і все робив, дотримуючись їхніх порад. Перейнявши ж турботу про державу, він поставив над військами Переннія, італійця за походженням, який вважався досвідченим у військовій справі (саме тому він і зробив його префектом преторія). А той, користуючись молодістю юнака, дозволив йому проводити вільний час у розкошах і пиятиках <…>, відволікав його від турбот і тягарів імператорської влади, 2 а сам узяв усе управління країною на себе, керуючись нестримним прагненням до багатства: зневагою до того, що він безперестанку набував, і ненаситною гонитвою за тим, чого в нього ще не було. На батькових же друзів він першим почав зводити наклепи і про тих із них, які були багатими та шляхетними, лякав юнака різними підозрами, аби той, убивши їх, надав йому привід і можливість прибрати до рук їхнє майно. 3 До певного часу юнака стримували пам'ять про батька і сором перед його друзями. Але врешті, наче з волі лихої й заздрісної долі, що відвернула від нього рештки розсудливості та скромності, сталося таке. Луцілла була найстаршою з усіх сестрою Комода. Вона спершу була дружиною імператора Луція Вера, і Марк, перетворивши його на співправителя і видавши за нього дочку, зробив родичання з ним найнадійнішою запорукою прихильності. Коли ж трапилося так, що Луцій помер, батько, залишивши дочці знаки імператорської влади, видав її за Помпеяна. 4 І Комод зі свого боку зберігав почесті для сестри: в театрах вона сиділа на царському троні, і перед нею несли вогонь. Коли ж Комод одружився з жінкою на ім'я Кріспіна, виникла потреба поступитися почесним місцем дружині імператора; Луцілла ж, тяжко це зносячи і вважаючи почесті тієї особистою образою, до того ж знаючи, що її власний чоловік [Помпеян] любив Комода, нічого не розповіла йому стосовно замаху на владу; Квадратові ж, одному родовитому й багатому юнакові, з яким вона, як подейкували, перебувала у таємному зв'язку, вивідуючи його думку, безперестанку жалілася на позбавлення почесного місця і потроху схилила юнака до задуму, що приніс загибель йому самому та всьому сенатові. 5 Зробивши співучасниками змови декількох помітних сенаторів, той переконав одного юнака, також сенатора, на ім'я Квінтіан, нерозважливого і зухвалого, сховати кинджал за пазуху і, підгадавши час і зручне місце, напасти на Комода і вбити його, завіривши, що все інше сам владнає роздачею грошей. 6 І ось той став у проході в амфітеатр (а там було темно, тому він сподівався залишитися непоміченим), оголив кинджал, напав зненацька на Комода і гучно вигукнув, що посланий до нього сенатом. Та він не встиг поранити імператора: згаявши час на промовляння слів і показ кинджала, схоплений охоронцями імператора, поніс покарання за нерозсудливість. І він замість того, аби здійснити замислене, розповів про змову; і так сталося, що викритий був спійманим, а завчасно попереджений – врятувався. 7 Саме такою є перша і головна причина того, чому в молодого імператора з'явилася ненависть до сенату: сказане ранило його душу, і він почав вважати всіх укупі своїми ворогами, назавжди запам'ятавши голос нападника. 8 Отак і у Переннія нагодилися привід і достатня підстава [вчинити замислене]: він-бо постійно радив Комодові виганяти й знищувати тих, хто вирізнявся серед інших; а сам він, привласнивши їхні пожитки, легко став найбагатшим з-поміж своїх сучасників. Після ретельного розслідування, проведеного Перенніем, Комод без жалю убив сестру і всіх, хто був у змові чи на кого впала бодай якась підозра.*

[1,9] *Перенній же, відсторонивши всіх, кого Комод ще соромився, тих, які виявляли до нього батьківську прихильність і передбачливо турбувалися про його спасіння, то він, зробившись*

ἐξουσίας, ἐπεβούλευε τῇ ἀρχῇ, καὶ τοῖς τε υἱοῖς αὐτοῦ νεανίαις οὖσιν ἐγχειρίσαι πείθει τὸν Κόμοδον <τὴν> πρόνοιαν τῶν Ἰλλυρικῶν στρατευμάτων, αὐτός τε πλεῖστα χρήματα ἤθροιζεν εἰς τὸ ἐπιδόσεσι λαμπραῖς ἀποστῆσαι τὸ στρατιωτικόν. οἱ δὲ παῖδες αὐτοῦ λανθάνοντες συνεκρότουν δύναμιν, ὡς ἂν τοῦ Περεννίου κατεργασαμένου τὸν Κόμοδον ἐπιθοῖντο τῇ ἀρχῇ. 2 ἐγνώσθη δ´ ἡ ἐπιβουλὴ παραδόξῳ τρόπῳ. ἱερὸν ἀγῶνα τελοῦσι Ῥωμαῖοι Διὶ Καπετωλίῳ, θεάματά τε <μούσης> καὶ ἰσχύος πάντα ἀθροίζεται ὡς εἰς βασιλίδα πόλιν πανηγυρίζουσαν. θεατὴς δὲ καὶ ἀθλοθέτης σὺν τοῖς λοιποῖς ἱερεῦσιν, οὓς ἐκ περιόδων χρόνον ἡ τάξις καλεῖ, ὁ βασιλεὺς γίγνεται. 3 κατελθόντος δὴ τοῦ Κομόδου ἐπὶ τὴν ἀκρόασιν τῶν ἐνδόξων ἀγωνιστῶν, καὶ αὐτοῦ μὲν προκαθίσαντος ἐν τῇ βασιλείῳ ἕδρᾳ, πληρωθέντος δὲ τοῦ θεάτρου μετὰ πάσης εὐκοσμίας, τῶν τε ἐν ἀξιώσεσιν <ἐν> ἑξαιρέτοις ἕδραις καὶ ὡς ἑκάστοις διετέτακτο ἱδρυμένων, πρίν τι λέγεσθαι ἢ πράττεσθαι ἐπὶ τῆς σκηνῆς ἀνὴρ φιλοσόφου φέρων σχῆμα (βάκτρον γὰρ ἦν αὐτοῦ μετὰ χεῖρας, ἡμιγύμνῳ τε αὐτῷ ἐκκρεμὴς πήρα) εἰσδραμὼν καὶ στὰς ἐν μέσῃ τῇ σκηνῇ τῷ τε χειρὸς νεύματι τὸν δῆμον κατασιγάσας 4 "οὐ πανηγυρίζειν σοι καιρός, – ἔφη, – Κόμοδε, νῦν, οὐδὲ θέαις καὶ ἑορταῖς σχολάζειν. ἐπίκειται γάρ σου τοῖς αὐχέσι τὸ τοῦ Περεννίου ξίφος, καὶ εἰ μὴ φυλάξῃ κίνδυνον οὐκ ἐπαιωρούμενον ἀλλ´ ἤδη παρόντα, λήσεις ἀπολόμενος. αὐτός τε γὰρ ἐνταῦθα δύναμιν ἐπὶ σοὶ καὶ χρήματα ἀθροίζει, οἵ τε παῖδες αὐτῷ τὴν Ἰλλυρικὴν στρατιὰν ἀναπείθουσιν. εἰ δὲ μὴ φθάσεις, διαφθερεῖς". 5 ταῦτα εἰπόντος αὐτοῦ, εἴτε ὑπό τινος δαιμονίου τύχης ἐπειχθέντος, εἴτε καὶ τολμήσαντος ἵνα δόξαν ἄρηται πρότερον ἄγνωστος καὶ ἄσημος ὤν, εἴτε ἐλπίσαντος ἀμοιβῆς μεγαλοδώρου τεύξεσθαι παρὰ τοῦ βασιλέως, ἀφασία τὸν Κόμοδον καταλαμβάνει. καὶ πάντες ὑπώπτευον μὲν τὰ λεχθέντα, πιστεύειν δὲ οὐ προσεποιοῦντο. κελεύει δὲ αὐτὸν συλληφθῆναι ὁ Περέννιος, οἷά τε μεμηνότα καὶ ψευδῆ λέγοντα πυρὶ παραδοθῆναι. ὃ μὲν δὴ ἀκαίρου παρρησίας τοιαύτην ὑπέσχε δίκην· 6 οἱ μέντοι περὶ τὸν Κόμοδον, ὅσοι τε εὐνοεῖν προσεποιοῦντο, καὶ πάλαι μὲν ἀπεχθῶς πρὸς τὸν Περέννιον διακείμενοι (βαρὺς γὰρ καὶ ἀφόρητος ἦν ὑπεροψίᾳ καὶ ὕβρει), τότε καιρὸν εὔκαιρον ἔχοντες, διαβάλλειν ἐπειρῶντο, ἐχρῆν τε ἄρα τὸν Κόμοδον τὴν ἐπιβουλὴν ἐκφυγεῖν καὶ τὸν Περέννιον σὺν τοῖς παισὶ διολέσθαι κακῶς. 7 ἦλθον γὰρ μετ´ οὐ πολὺ στρατιῶταί τινες λαθόντες τὸν τοῦ Περεννίου παῖδα, καὶ νομίσματα ἐκόμισαν ἐκτετυπωμένα τὴν ἐκείνου εἰκόνα. λαθόντες δὲ καίτοι ἔπαρχον ὄντα τὸν Περέννιον καὶ δείξαντες τῷ Κομόδῳ τὰ νομίσματα διδάξαντές τε τῆς ἐπιβουλῆς τὰ λανθάνοντα αὐτοὶ μὲν ἔτυχον μεγάλων δωρεῶν· 8 ἀγνοοῦντος δὲ ταῦτα τοῦ Περεννίου μηδέν τέ τι τοιοῦτον προσδεχομένου νύκτωρ ὁ Κόμοδος πέμψας ἀποτέμνει τὴν κεφαλήν· καὶ τὴν ταχίστην, ὅπως τὴν τῶν πραττομένων γνῶσιν φθάσωσιν, ἐκπέμπει τοὺς πορευσομένους φήμης ὀξυτέρῳ δρόμῳ ἐπιστῆναί τε δυνησομένους τῷ παιδὶ τοῦ Περεννίου τὰ ἐπὶ τῆς Ῥώμης ἀγνοοῦντι, γράμματά τε φιλικὰ ποιήσας καὶ <ἐπὶ> μείζοσι φήσας καλεῖν ἐλπίσιν αὐτὸν ἥκειν κελεύει. 9 ὃ δὲ μήτε <τι> τῆς παρασκευῆς πω καὶ τῶν βεβουλευμένων μήτε τι τῶν κατὰ τὸν πατέρα εἰδώς, τῶν ἀγγέλων εἰπόντων ταῦτα καὶ τὸν πατέρα ἐντετάλθαι ῥήμασι, μηδὲν δὲ ἐπεσταλκέναι τοῖς βασιλείοις ἀρκούμενον γράμμασι, πιστεύσας ὁ νεανίας, ἀσχάλλων μὲν καὶ δυσφορῶν ὅτι δὴ ἀτελῆ κατέλιπε τὰ βεβουλευμένα, ὅμως δὲ θαρρῶν τῇ τοῦ πατρὸς ὡς ἔτι συνεστώσῃ δυνάμει, ποιεῖται τὴν ἔξοδον. 10 γενόμενον δὲ αὐτὸν κατὰ τὴν Ἰταλίαν, οἷς τοῦτο ἐντέταλτο, διεχρήσαντο. τοιοῦτο μὲν δὴ τέλος ἐκείνους κατέλαβεν· ὁ δὲ Κόμοδος δύο τοὺς ἐπάρχους καταστήσας ἀσφαλέστερον ᾠήθη μὴ ἐνὶ πιστεύειν τοσαύτην ἐξουσίαν, μερισθεῖσαν δὲ αὐτὴν ἀσθενεστέραν ἔσεσθαι ἤλπισε <πεῖσαι> πρὸς τὴν βασιλείας ἐπιθυμίαν.

[1,10] χρόνου δὲ οὐ πολλοῦ διαγενομένου ἑτέρα τις ἐπιβουλὴ τοιαύτη κατ´ αὐτοῦ συνεσκευάσθη. Μάτερνος ἦν τις στρατιώτης μὲν πρότερον, πολλὰ δὲ καὶ δεινὰ τολμήσας, τήν τε τάξιν λιπὼν καὶ πείσας ἑτέρους ἀπὸ τῶν αὐτῶν ἔργων συναποδρᾶναι, χεῖρα πολλὴν κακούργων ἐν ὀλίγῳ ἀθροίσας χρόνῳ, τὰ μὲν πρῶτα κώμαις τε καὶ ἀγροῖς ἐπιτρέχων ἐλῃστευεν, ἐπεὶ δὲ πολλῶν χρημάτων ἐγκρατὴς ἐγένετο, μεῖζόν τι πλῆθος ἤθροισε κακούργων μεγάλαις τε δωρεῶν ὑποσχέσεσι καὶ τῶν ἁλισκομένων κοινωνίᾳ, ὡς μηκέτι λῃστῶν ἀλλὰ πολεμίων ἔχειν ἀξίωμα. 2 πόλεσι γὰρ ἤδη μεγίσταις ἐπετίθεντο, καὶ τὰ ἐν αὐταῖς δεσμωτήρια βίᾳ ῥηγνύντες, τοὺς ἐφ´ οἱαισδὴ καθειρχθέντας αἰτίαις δεσμῶν ἐλευθέρους ἀφιέντες ἄδειάν τε ὑπισχνούμενοι, εὐεργεσίαις ἐς τὴν συμμαχίαν προσήγοντο· πᾶσάν τε κατατρέχοντες τὴν Κελτῶν καὶ Ἰβήρων χώραν, πόλεσί τε ταῖς

заможним, зажадав влади і переконав Комода вручити своїм синам, ще юнакам, опіку над іллірійськими військами, сам же зібрав велику суму грошей на те, аби щедрими роздачами схилити військо до непокори владі. Сини ж його таємно збирали військову силу, щоб захопити владу, коли Перенній уб'є Комода. 2 Змову було викрито у дивовижний спосіб. Римляни влаштовують священні ігри на честь Юпітера Капітолійського, і всі театральні видовища та батальні дійства відбуваються на свято в імператорському місті. Глядачем і розпорядником змагань з рештою священнослужителів, які по черзі виконують цей обов'язок, є імператор. 3 І ось коли ж Комод прибув послухати знаменитих учасників змагання і сів попереду на царському місці, театр заповнився у цілковитому ладі, а почесні запрошені розсілися за призначеними для кожного місцями, перш ніж щось почало говоритися чи відбуватися на сцені, чоловік, одягнений, як філософ (у руці в нього був ціпок, а на самому, напівголому, висіла торба), забігши на сцену, став посеред неї і, жестом змусивши всіх замовчати, сказав: 4 "Невпору тобі, Комоде, зараз ані святкувати, ані байдикувати у споглядання видовищ і справлянні урочистостей. Над твоєю шиєю завис меч Перенніа, і, якщо ти не вбережешся від небезпеки, яка вже не загрожує, а насувається, ти й не помітиш, як загинеш. Він-бо тут збирає проти тебе військову силу і гроші, а його сини схиляють на свій бік іллірійське військо. Якщо ти не поспішиш, ти загинеш". 5 Коли він це сказав чи то з волі лихої долі, чи то наважившись на таке, аби здобути славу, будучи раніше незнаним і незначним, чи то сподіваючись заслужити натомість в імператора щедру винагороду, Комод онімів. І всі підозрювали, що сказане – правда, та удавали, що не вірять. Перенній же наказав схопити того чоловіка і спалити як божевільного і брехуна. Таку кару поніс він за недоречну відвертість; 6 а тим часом люди з оточення Комода, які віддавна ненавиділи Перенніа, але удавали, що прихильні до нього, (він-бо був тяжким і нестерпним через свою зверхність і пиху), намагалися обмовити його, отримавши таку нагоду; врешті, Комодові судилося уникнути змови, а Переннієві разом із синами – погано закінчити. 7 Невдовзі таємно від сина Перенніа прибули якісь воїни і привезли з собою монети з викарбуваним на них його зображенням. Непомічені префектом Перенніем, вони показали Комодові монети та розповіли йому про таємні подробиці змови, за що були щедро обдаровані. 8 А до Перенніа, який нічого не знав і не очікував нічого подібного, Комод прислав уночі слуг і наказав відрубати голову; потому якнайшвидше, аби випередити вість про скоєне, імператор написав дружнього листа сину Перенніа, де зазначав, що кличе його з великими сподіваннями, та наказав прибути, і вислав людей, які могли долати відстань швидше за поголос і постати перед ним, доки він ще нічого не дізнався про події в Римі. 9 Коли вісники сповістили його і сказали, що батько те саме передав на словах, але не послав нічого на додачу до імператорського листа, юнак, не знаючи ні про те, що готувалось і замислювалося, ні про те, що сталося з батьком, повірив і, хоча був засмучений і роздратований тим, що мусить полишити свої наміри, та все ще покладаючись на батькову силу, від'їхав. 10 Коли він з'явився в Італії, люди, яким це було наказано, убили його. Такий кінець спіткав їх; Комод же призначив двох префектів, вважаючи надійнішим наділити такими повноваженнями не одного і сподіваючись, що, розподілені, вони менше прагнутимуть до захоплення державної влади.

[1,10] *Минуло небагато часу, і проти нього була підготована ще й друга подібна змова. Був дехто на ім'я Матерн, в минулому солдат, який, проте, зухвало вчинив багато жахливого, а потім, покинувши військо і переконавши інших утекти з ним зі служби, зібрав за короткий час великий загін пройдисвітів і спершу займався грабунком, здійснюючи набіги на села і поля, а згодом, зібравши чимало грошей, згуртував іще більшу ватагу розбійників, пообіцявши їм великі дари і поділ награбованого; дійшло до того, що їх уже боялися не як грабіжників, а як ворогів. 2 Вони-бо вже бралися й за великі міста і, силою відчиняючи тамтешні тюрми, випускали на волю ув'язнених за будь-якими звинуваченнями й, запевняючи їх у безкарності, щедрими подачками затягували до себе в союзники; спустошуючи всю Галлію та Іспанію і здійснюючи набіги на найбільші міста, почасти*

μεγίσταις ἐπιόντες, καὶ μέρη μὲν ἐμπιπράντες, τὰ δὲ λοιπὰ <δι΄> ἁρπαγῆς ποιούμενοι ἀνεχώρουν. 3 ὡς δὲ ταῦτα ἐδηλώθη τῷ Κομόδῳ, μετὰ πάσης ὀργῆς τε καὶ ἀπειλῆς ἐπιστέλλει τοῖς τῶν ἐθνῶν ἡγουμένοις ῥᾳθυμίαν ἐγκαλῶν καὶ κελεύει στρατὸν ἐπ΄ αὐτοὺς ἀθροισθῆναι. μαθόντες δὲ ἐκεῖνοι δύναμιν ἀγειρομένην ἐπ΄ αὐτούς, τῶν μὲν χωρίων ἃ ἐπόρθουν ἀπέστησαν, λαθόντες δὲ διὰ ταχείας καὶ ἀβάτου ὁδοιπορίας κατ΄ ὀλίγους εἰς τὴν Ἰταλίαν παρεδύοντο, καὶ περὶ βασιλείας ἤδη καὶ μειζόνων πραγμάτων ὁ Μάτερνος ἐβουλεύετο. ἐπεὶ γὰρ αὐτῷ τὰ προπεπραγμένα πάσης ἐλπίδος μειζόνως ἦν προχωρήσαντα, ᾠήθη δεῖν μέγα τι δράσας κατορθῶσαι, ἢ ἐπείπερ ἅπαξ ἐν κινδύνῳ καθειστήκει, μὴ ἀσήμως μηδ΄ ἀδόξως τελευτῆσαι. 4 ἐπεὶ δὲ αὐτῷ μὴ τοσαύτην ὑπάρχειν δύναμιν ἠγεῖτο ὡς ἐξ ἀντιστάσεως ἰσορρόπου καὶ φανερᾶς ἐφόδου συστῆναι πρὸς τὸν Κόμοδον (τό τε γὰρ πλῆθος τοῦ Ῥωμαίων δήμου ἐλογίζετο εὔνουν ἔτι τῷ Κομόδῳ ὑπάρχον, τήν τε περὶ αὐτὸν τῶν δορυφόρων εὔνοιαν), τέχνῃ καὶ σοφίᾳ ἤλπισε περιέσεσθαι. καὶ μηχανᾶται τοιόνδε τι· 5 ἦρος ἀρχῇ ἑκάστου ἔτους ὡρισμένης ἡμέρας μητρὶ θεῶν πομπὴν τελοῦσι Ῥωμαῖοι· καὶ πάντα ὅσα παρ΄ ἑκάστοις πλούτου σύμβολα κειμήλιά τε βασιλέων ὕλης τε ἢ τέχνης θαύματα, τῆς θεοῦ προπομπεύει. ἀνετός τε πᾶσι δέδοται ἐξουσία παντοδαπῆς παιδιᾶς, ἕκαστός τε ὃ βούλεται σχῆμα ὑποκρίνεται· οὐδ΄ ἔστιν οὕτως μέγα ἢ ἐξαίρετον ἀξίωμα, ὃ μὴ παντὶ τῷ βουλομένῳ ἀμφιεσθέντι ὑπάρχει παῖξαί τε καὶ κρύψαι τὴν ἀλήθειαν, ὡς μὴ ῥᾳδίως διαγνῶναι τόν τε ὄντα καὶ τὸν μιμούμενον. 6 ἔδοξε δὴ τῷ Ματέρνῳ καιρὸς ἐπιτήδειος εἶναι εἰς τὸ τὴν ἐπιβουλὴν λαθεῖν. ἤλπισε γὰρ αὐτός τε ἀναλαβὼν τὸ τῶν δορυφόρων σχῆμα καὶ τοὺς σὺν αὐτῷ ὁπλίσας ὁμοίως ἀναμίξας τε τῷ πλήθει τῶν αἰχμοφόρων καὶ τῆς πομπῆς νομισθεὶς μέρος, μηδενὸς τε προφυλαττομένου αἰφνιδίως ἐπιπεσὼν τὸν Κόμοδον διαχρήσεσθαι. 7 ἀλλὰ προδοσίας γενομένης ὑπὸ τινῶν τῶν σὺν αὐτῷ προκατελθόντων εἰς τὴν πόλιν καὶ τὴν ἐπιβουλὴν κατειπόντων (φθόνος γὰρ αὐτοὺς ἐς τοῦτο παρώξυνεν, εἰ δὴ ἔμελλον ἀντὶ <συλ>λῃστοῦ δεσπότην ἕξειν καὶ βασιλέα), πρὶν ἐλθεῖν τὴν ἑορτὴν αὐτός τε ὁ Μάτερνος συλληφθεὶς τὴν κεφαλὴν ἀπετμήθη, καὶ οἱ συνωμόται ἀξίας ὑπέσχον δίκας. ὁ δὲ Κόμοδος θύσας τε τῇ θεῷ καὶ χαριστήρια ὁμολογήσας τὴν ἑορτὴν ἐπετέλει, παρέπεμπέ τε τὴν θεὸν χαίρων. καὶ σωτήρια τοῦ βασιλέως ὁ δῆμος μετὰ τῆς ἑορτῆς ἐπανηγύριζεν.

спалюючи їх, а решту – розграбовуючи, вони відходили. 3 Коли про це доповіли Комодові, він з величезним гнівом і погрозами розіслав листи намісникам провінцій, дорікаючи їм за легковажність, з наказом зібрати проти тих [злодіїв] військо. Ті ж, дізнавшись, що проти них лагодиться сила, покинули спустошені ними місцини й непомітно найкоротшими та непрохідними шляхами почали прослизати в Італію; Матерн же почав думати про імператорську владу та великі справи. Оскільки вже здійснене ним підживило сподівання на більше, він вирішив, що потрібно вчинити щось величне, досягти успіху або, якщо раптом вскочить у якусь халепу, загинути знаменито й небезславно. Позаяк же він вважав, що в нього недостатньо війська, аби відкрито та на рівних протистояти Комодові (він розумів, що більшість римського народу залишається вірними підданими Комода, як і його преторіанці), тому сподівався отримати перевагу завдяки розуму й хитрощам. І замислив він наступне: 5 на початку весни кожного року у визначений день римляни влаштовують урочисту ходу на честь Матері богів, і все, що в них є символами багатства, царські скарби чи дивовижні витвори ремесла й мистецтва, вони несуть перед богинею. Усім надається необмежена можливість усіляких витівок, і кожен ховається в шати, які йому до вподоби; і немає такого високого чи почесного звання, під яким би кожному охочому, хто переодягся, не дозволено було критися і ховати істину, так що непросто відрізнити справжнього від удаваного. 6 Матернові видалося, що це – слушна пора непомітно вчинити замах. Він сподівався, сам убравшись списоносцем і так само спорядивши своїх поплічників, змішатись із загоном [охорони] й прикинутися, що є частиною процесії, а відтак раптово напасти на Комода, який нічого такого не очікував, і вбити його. 7 Але через зраду, бо деякі з його соратників раніше проникли до міста і видали змову (їх до цього спонукала заздрість, адже він збирався постати над ними вже не ватажком розбійників, а імператором), – тому-то перш ніж настало свято, сам Матерн був схоплений і обезголовлений, а співучасники змови зазнали належної кари. Комод же, здійснивши жертвоприношення богині й склавши дари вдячності, продовжував святкувати й радісно супроводжував її. Народ же разом із святом урочисто відзначав порятунок імператора.

[1,11] θρησκεύουσι δὲ μάλιστα τὴν θεὸν τήνδε Ῥωμαῖοι ἐξ αἰτίας τοιαύτης, ὡς ἱστορίᾳ παρειλήφαμεν, ἧς ἐπιμνησθῆναι ἔδοξε διὰ τὴν παρ΄ Ἑλλήνων τισὶν ἀγνωσίαν. αὐτὸ μὲν τὸ ἄγαλμα διοπετὲς εἶναι λέγουσιν, οὔτε δὲ τὴν ὕλην οὔτε τεχνιτῶν ὅστις ἐποίησεν ἐγνωσμένον οὐδὲ ψαυστὸν χειρὸς ἀνθρωπίνης. τοῦτο δὲ πάλαι μὲν ἐξ οὐρανοῦ κατενεχθῆναι λόγος εἵς τινα τῆς Φρυγίας χῶρον (Πεσσινοῦς δὲ ὄνομα αὐτῷ, τὴν δὲ προσηγορίαν λαβεῖν τὸν τόπον ἐκ τοῦ πεσόντος ἀγάλματος ἐξ οὐρανοῦ) καὶ πρῶτον ἐκεῖσε ὀφθῆναι. 2 ὡς δὲ παρ΄ ἑτέροις εὕρομεν, Ἴλῳ τῷ Φρυγὶ καὶ Ταντάλῳ τῷ Λυδῷ πόλεμον ἐκεῖ γενέσθαι λέγουσιν, οἳ μὲν περὶ ὅρων, οἳ δὲ περὶ τῆς Γανυμήδους ἁρπαγῆς· ἰσορρόπου δὲ ἐπὶ πολὺ τῆς μάχης γενομένης ἑκατέρωθεν πεσεῖν ἱκανούς, καὶ τὴν συμφορὰν ὄνομα δοῦναι τῷ χωρίῳ. ἔνθα καὶ τὸν Γανυμήδην ἁρπασθέντα ἀφανῆ γενέσθαι λόγος, ἀνθελκόντων αὐτὸν τοῦ ἀδελφοῦ καὶ τοῦ ἐραστοῦ, ἀφανοῦς δὲ γενομένου τοῦ σώματος ἐκθειασθῆναι τὸ πάθος τοῦ μειρακίου ἐς μῦθον καὶ τὴν Διὸς ἁρπαγήν. ἐν δὲ τῷ προειρημένῳ Πεσσινοῦντι πάλαι μὲν Φρύγες ὠργίαζον ἐπὶ τῷ ποταμῷ Γάλλῳ παραρρέοντι, ἀφ΄ οὗ τὴν ἐπωνυμίαν φέρουσιν οἱ τῇ θεῷ τομίαι ἱερωμένοι. 3 ἐπεὶ δὲ Ῥωμαίων ηὔξετο τὰ πράγματα, φασὶν αὐτοῖς χρησθῆναι μενεῖν τε τὴν ἀρχὴν καὶ εἰς μέγα προχωρήσειν, εἰ τὴν Πεσσινουντίαν θεὸν μεταγάγοιεν ὡς αὐτούς. πέμψαντες δὴ πρέσβεις ἐς Φρύγας τὸ ἄγαλμα ᾔτουν· ἔτυχον δὲ ῥᾳδίως συγγένειαν προβαλλόμενοι καὶ τὴν ἀπ΄ Αἰνείου τοῦ Φρυγὸς εἰς αὐτοὺς διαδοχὴν καταλέγοντες. κομισθὲν δὲ ἐπὶ νεὼς τὸ ἄγαλμα καὶ γενόμενον ἐν ταῖς τοῦ Θύμβριδος ἐκβολαῖς (ταύταις γὰρ ἀντὶ λιμένων ἐχρῶντο οἱ Ῥωμαῖοι) ἔστησε θείᾳ δυνάμει τὸ σκάφος. 4 ἐπὶ πολὺ δὲ πανδημεὶ τῶν Ῥωμαίων τὴν ναῦν ἑφελκόντων, ἀντεχούσης τῆς ἰλύος οὐ πρότερον ἡ ναῦς ἀνέδραμε, πρὶν ἢ τὴν ἱέρειαν ἐνεχθῆναι [τῆς θεοῦ ἥτις] τῆς Ἑστίας [ἦν]. ταύτην ἔδει παρθενεύεσθαι, αἰτίαν δὲ διαφθορᾶς εἶχεν. μέλλουσα δὲ κριθήσεσθαι, ἱκετεύει τὸν δῆμον ἐπιτρέψαι τῇ Πεσσινουντίᾳ θεῷ τὴν κρίσιν· καὶ λυσαμένη τὴν ζώνην ἐπαφῆκε τῇ πρῴρᾳ τῆς νεὼς προσευξαμένη, εἰ παρθένος εἴη καὶ ἁγνή, πεισθῆναι τὸ σκάφος. 5 ῥᾳδίως δὲ τῆς ζώνης ἐξηρτημένη ἡ ναῦς ἠκολούθησεν· ὁμοῦ δὲ τὸ ἐναργὲς τῆς θεοῦ καὶ

[1,11] *Римляни ж, як ми довідуємося з історії, дуже шанують цю богиню з такої-ось причини, пригадати яку видалося доречним через те, що дехто з греків необізнаний з нею. Сама статуя, як кажуть, була послана вишини Зевсом, проте невідомо було, ані з якої деревини вона була виготовлена, ані хто з митців її виконав; її не торкалася людська рука. За переказом же, вона колись давно впала з неба в одній місцині у Фригії (а назва їй Пессінунт, таке-бо найменування місцевість отримала від "статуї, що впала з неба"), і там її вперше побачили. 2 Як ми довідалися від інших, розповідають, що там відбувалася війна між Ілом Фригійським і Танталом Лідійським, як одні стверджують – через кордони, інші ж – через викрадення Ганімеда; а що битва довго тривала на рівних, з обох сторін загинуло чимало воїнів, тож ця подія дала назву місцині. Також кажуть, що щез викрадений Ганімед: коли брат і коханець почали його тягнути кожен у свій бік, тіло його зникло; цей випадок з юнаком був відтворений у міфі, звідси й оповідь про викрадення його Зевсом. А у згаданому вже Пессінунті колись давно фригійці справляли оргії на річці Галл, що протікає поблизу; від неї походить імення кастрованих жерців богині. 3. Коли ж держава римлян розширилася, як оповідають, було їм провіщено, що вона стоятиме і ще довго процвітатиме, якщо вони перевезуть до себе пессінунтську богиню. Відправивши послів до фригійців, римляни попросили статую собі; їм це легко вдалося, адже вони наводили як доказ спорідненість і перелічували спадковість поколінь, починаючи від Енея Фригійського. Доставлена кораблем статуя, з'явившись у гирлі Тибру (їдого-бо римляни використовували замість гавані), зупинила судно божественною силою. 4 Відтак римляни довго всім людом намагалися тягнути корабель; а той через опір мулу доти не пішов угору річкою, доки не привели жрицю цієї богині, Гестії, якій слід було зберігати цноту; жрицю ж цю звинувачували у порочності. Коли її мали судити, вона почала благати народ доручити суд над нею пессінунтській богині; знявши з себе пояс і прив'язавши його до носа корабля, вона молилася, аби судно їй підкорилося, якщо вона – діва й непорочна. 5*

τὸ σεμνὸν τῆς παρθένου Ῥωμαῖοι ἐθαύμασαν. τοσαῦτα μὲν δὴ <περὶ> τῆς Πεσσινουντίας θεοῦ φιλοτιμότερον ἱστορήσθω, οὐκ ἄχαριν ἔξοντα γνῶσιν τοῖς τὰ Ῥωμαίων οὐκ ἀκριβοῦσιν. ὁ δὲ Κόμοδος ἐκφυγὼν τὴν Ματέρνου ἐπιβουλὴν πλείονί τε περὶ αὐτὸν ἐχρῆτο φρουρᾷ καὶ σπανίως τοῖς δήμοις ἐπεφαίνετο, τὰ πλεῖστα ἐν προαστείοις καὶ τοῖς ἀπωτέρω τῆς πόλεως βασιλικοῖς κτήμασιν διατρίβων καὶ ἑαυτὸν δικαστηρίων ἀπείργων καὶ βασιλικῶν πράξεων.

Прив'язаний же поясом корабель легко пішов за нею, і римляни здивувалися водночас очевидному доказу існування богині та святості діви. Хай такої розповіді про пессінунтську богиню буде достатньо, аби для необізнаних у римських справах це знання стало приємним. Комод же, врятувавшись від змови Матерна, оточив себе більшою охороною й рідко з'являвся народові, проводячи більшу частину часу на околицях Риму й в імператорських маєтках подалі від міста, відсторонюючись як від вершення суду, так і від державних справ.

[1,12] συνέβη δὲ κατ´ ἐκεῖνο καιροῦ λοιμώδη νόσον κατασχεῖν τὴν Ἰταλίαν· μάλιστα δὲ τὸ πάθος <ἐν> τῇ Ῥωμαίων πόλει ἤκμασεν ἄτε πολυανθρώπῳ τε οὔσῃ φύσει καὶ τοὺς πανταχόθεν ὑποδεχομένῃ, πολλή τέ τις φθορὰ ἐγένετο ὑποζυγίων ἅμα καὶ ἀνθρώπων. 2 τότε ὁ Κόμοδος συμβουλευσάντων αὐτῷ τινῶν ἰατρῶν εἰς τὴν Λαύρεντον ἀνεχώρησεν· εὐψυχέστερον γὰρ ὂν τὸ χωρίον καὶ μεγίστοις κατάσκιον δαφνηφόροις ἄλσεσιν (ὅθεν καὶ τὸ ὄνομα τῷ χωρίῳ) σωτήριον εἶναι ἐδόκει, καὶ πρὸς τὴν τοῦ ἀέρος φθορὰν ἀντέχειν ἐλέγετο εὐωδίᾳ τε τῆς τῶν δαφνῶν ἀποφορᾶς καὶ τῇ τῶν δένδρων ἡδείᾳ σκιᾷ. ἀλλὰ καὶ οἱ κατὰ τὴν πόλιν κελευόντων τῶν ἰατρῶν μύρου εὐωδεστάτου τάς τε ὀσφρήσεις καὶ τὰ ὦτα ἐνεπίμπλασαν, θυμιάμασί τε καὶ ἀρώμασι συνεχῶς ἐχρῶντο, φασκόντων τινῶν τὴν εὐωδίαν φθάσασαν ἐμπιπλάναι τοὺς πόρους τῶν αἰσθήσεων καὶ κωλύειν δέχεσθαι τὸ φθορῶδες τοῦ ἀέρος, ἢ εἰ καί τι προεμπέσοι, κατεργάζεσθαι δυνάμει κρείττονι. πλὴν οὐδὲν ἧττον ἡ νόσος ἐπὶ πλεῖστον ἤκμασε, πολλῆς ἀνθρώπων φθορᾶς γενομένης πάντων τε ζῴων <τῶν> τοῖς ἀνθρώποις συνοίκων. 3 ἐπέσχε δὲ κατ´ αὐτὸ καὶ λιμὸς τὴν πόλιν ἐξ αἰτίας τοιαύτης. Κλέανδρός τις ἦν, τὸ μὲν γένος Φρύξ, τῶν δημοσίᾳ εἰωθότων ὑπὸ κήρυκι πιπράσκεσθαι. οἰκέτης δὲ βασιλικὸς γενόμενος συναυξηθείς τε τῷ Κομόδῳ εἰς τοσοῦτον ὑπ´ αὐτοῦ τιμῆς καὶ ἐξουσίας προήχθη, ὡς τήν τε τοῦ σώματος φρουρὰν καὶ τὴν τοῦ θαλάμου ἐξουσίαν τήν τε τῶν βασιλικῶν στρατιωτῶν ἀρχὴν ἐγχειρισθῆναι. ὑπὸ δὲ πλούτου καὶ τρυφῆς ἀνεπείσθη καὶ πρὸς βασιλείας ἐπιθυμίαν. 4 ἀθροίζων δὲ χρήματα καὶ πλεῖστον σῖτον συνωνούμενος καὶ ἀποκλείων, ἤλπιζεν ὑπάξεσθαι τόν τε δῆμον καὶ τὸ στρατόπεδον, εἰ πρῶτον ἐν σπάνει τῶν ἐπιτηδείων καταστήσας ἐπιδόσεσι λαμπραῖς ἀλόντας πόθῳ τοῦ χρειώδους προσαγάγοιτο. μέγιστον δὲ γυμνάσιον κατασκευάσας λουτρὸν δημόσιον ἀνῆκεν αὐτοῖς. ὁ μὲν οὖν οὕτως τὸν δῆμον ἐθελέαζεν. 5 οἱ δὲ Ῥωμαῖοι ἀπεχθῶς ἔχοντες πρὸς αὐτὸν καὶ τῶν δεινῶν τὰς αἰτίας εἰς ἐκεῖνον ἀναφέροντες μισοῦντές <τε> αὐτοῦ τὸ ἀκόρεστον τῆς τοῦ πλούτου ἐπιθυμίας, τὰ μὲν πρῶτα ἐν τοῖς θεάτροις συνιστάμενοι κατὰ πλήθη κακῶς ἠγόρευον, καὶ τὸ τελευταῖον, διάγοντος ἐν προαστείῳ τοῦ Κομόδου, ἐπελθόντες πανδημεὶ ἐβόων καὶ τὸν Κλέανδρον εἰς θάνατον ᾔτουν. 6 ταραχῆς δ´ οὔσης περὶ τὸ προάστειον τοῦ τε Κομόδου ἐν τοῖς ἀνακεχωρηκόσι τόποις ἡδοναῖς σχολάζοντος ἀγνοοῦντός τε τὰ θρυλούμενα, ἐπείπερ ὁ Κλέανδρος ἀγγέλλεσθαί τι τῶν πραττομένων ἐκώλυεν αὐτῷ, αἰφνιδίως, οὐ προσδοκῶντος τοῦ δήμου, ἐπιφαίνονται ὡπλισμένοι κελεύσαντος τοῦ Κλεάνδρου πάντες οἱ βασίλειοι ἱππεῖς τούς τε ἐντυγχάνοντας ἔβαλλον καὶ ἐτίτρωσκον. 7 ὁ δὲ δῆμος οὐδ´ ἀντιστῆναι οἷός τε ἦν, ἄνοπλοι πρὸς ὡπλισμένους καὶ πεζοὶ πρὸς ἱππεῖς· τροπῆς δὲ γενομένης ἔφευγον εἰς τὴν πόλιν. ἐφθείρετο δὲ ὁ δῆμος οὐ μόνον βαλλόμενος ὑπὸ τῶν στρατιωτῶν οὐδὲ πατούμενος ὑπὸ τῶν ἵππων, ἀλλὰ καὶ ὑπὸ τοῦ πλήθους ὠθούμενοι καὶ ὑπὸ τῶν ἱππέων ἐπάλληλοι πίπτοντες πολλοὶ ἀπώλοντο. 8 μέχρι μὲν οὖν τῶν τῆς Ῥώμης πυλῶν ἀκωλύτως οἱ ἱππεῖς διώκοντες τοὺς ἐμπίπτοντας ἀφειδῶς ἀνῄρουν. ἐπεὶ δὲ οἱ ἐν τῇ πόλει μείναντες αἰσθόμενοι τὸ κατειληφὸς πάθος, ἀποκλείσαντες τὰς τῶν οἰκιῶν εἰσόδους εἶς τε τὰ δωμάτια ἀναβάντες, λίθοις καὶ κεράμοις ἔβαλλον τοὺς ἱππεῖς, οἳ δὲ ἔπασχον ἅπερ δεδράκεσαν, οὐδενὸς μὲν αὐτοῖς συστάδην μαχομένου, τοῦ δὲ πλήθους ἐξ ἀσφαλοῦς ἤδη βάλλοντος αὐτούς, πιτρωσκόμενοι τοίνυν καὶ μὴ φέροντες ἐς φυγὴν ἐτράπησαν, πολλοὶ δὲ αὐτῶν διεφθείροντο· 9 ὑπό τε τῆς τῶν λίθων συνεχοῦς βολῆς οἱ ἵπποι κυλινδουμένοις τοῖς λίθοις ἐπιβαίνοντες ὠλίσθανον καὶ τοὺς ἐπιβάτας ἀπωθοῦντο. πολλῶν δὲ ἑκατέρωθεν πιπτόντων ἐπεβοήθουν τῷ δήμῳ καὶ οἱ τῆς πόλεως πεζοὶ στρατιῶται μίσει τῶν ἱππέων.

[1,12] Сталося так, що в цей же час чума охопила Італію, найбільше ж пошесть розлютувалася в місті римлян, бо воно за своєю природою велелюдне і звідусіль приймає [населення], і якась велика моровиця косила як худобу, так і людей. 2 Тоді Комод за порадою деяких лікарів переїхав до Лаврента: ця-бо місцина, прохолодніша і вкрита величезними лавровими гаями (звідси й її назва), уважалася цілющою; подейкували, що оті лаврові випари перешкоджають дії зараженого повітря завдяки духмяним пахощам і приємній тіні дерев. Та й мешканці Риму за приписом лікарів наповнювали ніздрі та вуха пахучим миром, безперестанку кадили фіміам і запашні трави, позаяк деякі казали, що пахощі першими заповнюють проходи органів чуття і не дають проникати отруйному повітрю, а якщо щось таки потрапить, буде знищене сильнішим засобом. Але хвороба все одно вельми довго лютувала з тою ж силою, і загинуло багато як людей, так і свійських тварин. 3 Тоді ж і голод охопив місто з таких причин. Був дехто Клеандр, родом фригієць, з отих, яких зазвичай прилюдно продають за оголошенням оповісника. Ставши імператорським рабом і зроставши разом із Комодом, він був досяг такої честі і могутності, що йому було доручено охорону імператора, управління його покоями, а також командування імператорськими військами. І от, через багатство і розкіш він піддався й прагненню до захоплення влади. 4 Відтак, збираючи гроші, скуповуючи безмір хліба і ховаючи його під замками, він сподівався ввести в оману народ і військо, спершу спричинивши брак продовольства, а потім – щедрими роздачами прихиливши до себе скутих потребою в найнеобхіднішому. Побудувавши величезний гімнасій і громадські лазні, Клеандр передав їх народу. Ось так він намагався здобути його прихильність. 5 Римляни ж, які ставилися до нього вороже і вважали його винуватцем страшних подій, ненавидячи його ненаситність у прагненні до багатства, спершу збиралися групами в театрі й просто про нього лихословили, урешті ж, коли Комод перебував у передмісті, вони прийшли до нього всі разом і волаючи благали його, аби він скарав Клеандра на смерть. 6 У передмістях відбувалися заворушення, Комод же у віддалених місцях проводив час у втіхах і не знав, про що гомоніли, оскільки Клеандр забороняв, аби йому про це повідомляли; раптом, коли народ цього не очікував, за наказом Клеандра вискочила озброєна вся імператорська кіннота й почала топтати та калічити всякого, хто трапиться на шляху. 7 Народ ніяк не міг протистояти їм, беззбройний проти озброєних і піший проти кінних; люди почали тікати назад до міста. Вони гинули не лише від того, що їх збивали з ніг солдати і топтали коні; багато хто загинув і через велику штовханину, падаючи в натовпі один на одного. 8 Аж до воріт Риму вершники переслідували і безжально вбивали всіх, хто траплявся їм на шляху. Коли ж ті, які залишилися в місті, дізналися, яка сталася біда, зачинили двері своїх будинків, позалізали на дахи і звідти почали кидати у вершників камінням і покрівлею, тих спіткало те, що вони самі вчинили: адже з ними ніхто не бився у ближньому бою, а натовп закидав їх камінням із неприступних місць, вершники отримували поранення і, не витримуючи, повернули до втечі, і багато з них загинули; 9 оскільки каміння кидали безперервно, коні, наступаючи на камені, що котилися їм під ноги, послизалися та скидали з себе вершників. Убитих було багато з двох сторін, а народові допомагали й римські піхотинці, які ненавиділи вершників.

[1,13] ὄντος δὲ πολέμου ἐμφυλίου ἄλλος μὲν οὐδεὶς ἀγγεῖλαι τὰ πραττόμενα τῷ Κομόδῳ ἐβούλετο δέει τῆς Κλεάνδρου ἐξουσίας, ἡ δὲ πρεσβυτάτη τῶν Κομόδου ἀδελφῶν (Φαδίλλα ἦν ὄνομα αὐτῇ) εἰσδραμοῦσα πρὸς τὸν βασιλέα (ῥᾳδία δὲ ἡ εἴσοδος αὐτῇ καὶ ἀκώλυτος ἄτε ἀδελφῇ) λυσαμένη τὰς τρίχας ῥίψασά τε εἰς τὴν γῆν ἑαυτήν, οὐδὲν ἀλλ´ ἢ πένθους σχῆμα δείξασα 2 "σὺ μὲν – ἔφη

[1,13] Поки йшла [ця] міжусобна війна, ніхто не наважувався доповісти Комодові про події через страх перед могутністю Клеандра; найстарша ж із Комодових сестер (ім'я їй було Фаділла), вбігши до імператорських покоїв (вхід для неї як для сестри імператора був безперешкодним), розпустила волосся й кинулась долі, не показуючи своїм виглядом нічого, окрім смутку, і

– ὦ βασιλεῦ, μένων ἐπὶ ἡσυχίᾳ τῶν πραττομένων ἀγνοίᾳ, <ἐν> ἐσχάτῳ καθέστηκας κινδύνῳ· ἡμεῖς δέ, τὸ σὸν γένος, ὅσον οὐδέπω ἀπολούμεθα. οἴχεται δέ σοι ὅ τε δῆμος Ῥωμαίων καὶ τὸ πλεῖστον τοῦ στρατιωτικοῦ. ἃ δὲ πρὸς μηδενὸς βαρβάρων πείσεσθαι προσεδοκῶμεν, ταῦτα δρῶσιν ἡμᾶς οἱ οἰκεῖοι, καὶ οὓς μάλιστα εὐηργέτησας, τούτους ἐχθροὺς ἔχεις. 3 Κλέανδρος ἐπὶ σὲ τόν τε δῆμον καὶ τὸ στρατιωτικὸν ὥπλισεν· ἐκ δὲ διαφόρου καὶ ἐναντίας γνώμης οἳ μὲν μισοῦντες αὐτόν, [ὁ δῆμος] οἳ δὲ στέργοντες, [πᾶν τὸ ἱππικὸν τάγμα] ἐν ὅπλοις εἰσί, καὶ φθείροντες ἀλλήλους ἐμφυλίου αἵματος τὴν πόλιν ἐπλήρωσαν. τὰ δ´ ἑκατέρου τοῦ πλήθους δεινὰ ἡμᾶς προσλήψεται, εἰ μὴ τὴν ταχίστην πρὸς θάνατον ἐκδώσεις <τὸν> πονηρὸν οἰκέτην, ὀλέθρου τοσούτου τοῖς μὲν αἴτιον ἤδη γεγονότα, ἡμῖν δὲ ἐσόμενον ὅσον οὐδέπω". 4 τοιαῦτά τινα εἰποῦσα ῥηξαμένη τε τὴν ἐσθῆτα, καὶ τῶν παρόντων τινές (ἐθάρρησαν γὰρ τοῖς τῆς ἀδελφῆς τοῦ βασιλέως λόγοις) τὸν Κόμοδον ἐτάραξαν. ἐκπλαγεὶς δὲ ἐκεῖνος τόν τε ἐπικείμενον κίνδυνον οὐ μέλλοντα ἀλλὰ παρόντα ἤδη φοβηθεὶς, μεταπέμπεται τὸν Κλέανδρον, οὐδὲν μέν τι εἰδότα τῶν ἀπηγγελμένων, οἰόμενον δέ. ἐλθόντα οὖν αὐτὸν συλληφθῆναι κελεύει καὶ τὴν κεφαλὴν ἀποτεμὼν δόρατί τε ἐπιμήκει ἐγκαταπήξας ἐκπέμπει τερπνὸν καὶ ποθεινὸν τῷ δήμῳ θέαμα. 5 ἔστη γὰρ οὕτως τὸ δεινόν, καὶ ἑκάτεροι πολεμοῦντες ἐπαύσαντο, οἱ μὲν στρατιῶται ἀνῃρημένον ἰδόντες ὑπὲρ οὗ ἐμάχοντο, δέει τε τῆς τοῦ βασιλέως ὀργῆς (συνίεσαν γὰρ ἐξηπατῆσθαι καὶ τὰ δρασθέντα παρὰ γνώμην αὐτοῦ τετολμηκέναι), ὁ δὲ δῆμος κεκόρεστο τιμωρίαν παρὰ τοῦ τὰ δεινὰ δράσαντος εἰληφώς. 6 προσανεῖλον δὲ καὶ τοὺς παῖδας τοῦ Κλεάνδρου (δύο δὲ ἦσαν ἄρρενες αὐτῷ), πάντας τε ὅσους ᾔδεσαν ἐκείνῳ φίλους διεχρήσαντο· σύροντές τε τὰ σώματα καὶ πᾶσαν ὕβριν ἐνυβρίσαντες, τέλος λελωβημένα εἰς τοὺς ὀχετοὺς φέροντες ἔρριψαν. τοιούτῳ μὲν δὴ τέλει Κλέανδρός τε καὶ οἱ περὶ αὐτὸν ἐχρήσαντο, φιλοτιμουμένης, ὡς ἄν τις εἴποι, τῆς φύσεως ἐν ἑνὶ δεῖξαι, ὅτι ἐκ τῆς ἐσχάτης εὐτελείας εἰς τὸ μέγιστον ὕψος ἆραι καὶ πάλιν τὸν ἀρθέντα ῥῖψαι ὀλίγη καὶ ἀνέλπιστος δύναται τύχης ροπή. 7 ὁ δὲ Κόμοδος δεδιὼς μὲν τὴν τοῦ δήμου κίνησιν, μή τι καὶ περὶ αὐτὸν νεωτερίσειεν, ὅμως δὲ παρορμησάντων αὐτὸν τῶν οἰκείων κατελθὼν εἰς τὸ ἄστυ μετὰ πάσης εὐφημίας τε καὶ παραπομπῆς τοῦ δήμου ὑποδεχθεὶς εἰς τὴν βασίλειον ἐπανῆλθεν αὐλήν. πειραθεὶς δὲ τοσούτων κινδύνων ἀπίστως προσεφέρετο πᾶσιν ἀφειδῶς τε φονεύων καὶ πάσαις διαβολαῖς ῥᾳδίως πιστεύων μηδέ τινα προσιέμενος τῶν λόγου ἀξίων· ἀλλὰ τῆς μὲν περὶ τὰ καλὰ σπουδῆς ἀπῆγεν ἑαυτόν, δεδούλωντο δὲ πᾶσαν αὐτοῦ τὴν ψυχὴν νύκτωρ τε καὶ μεθ´ ἡμέραν ἐπάλληλοι καὶ ἀκόλαστοι σώματος ἡδοναί. 8 καὶ σώφρων μὲν πᾶς καὶ παιδείας κἂν ἔτι μετρίως μεμνημένος τῆς αὐλῆς ὡς ἐπίβουλος ἐδιώκετο, γελωτοποιοὶ δὲ καὶ τῶν αἰσχίστων ὑποκριταὶ εἶχον αὐτὸν ὑποχείριον. ἁρμάτων τε ἡνιοχείας καὶ θηρίων ἐξ ἀντιστάσεως μάχας ἐπαιδεύετο, τῶν μὲν κολάκων εἰς ἀνδρείας δόξαν αὐτὰ ὑμνούντων, τοῦ δὲ ἀπρεπέστερον μετιόντος ἢ βασιλεῖ σώφρονι ἥρμοζε.

[1,14] ἐγένοντο δέ τινες κατ´ ἐκεῖνο καιροῦ καὶ διοσημεῖαι. ἀστέρες γὰρ ἡμέριοι συνεχῶς ἐβλέποντο ἕτεροί τε εἰς μῆκος κεχαλασμένοι ὡς ἐν μέσῳ ἀέρι κρέμασθαι δοκεῖν· ζῷά τε παντοῖα καὶ τὴν ἑαυτῶν φύσιν μὴ τηροῦντα σχήμασί τε ἀλλοδαποῖς καὶ μέρεσι σώματος ἀναρμόστοις πολλάκις ἀπεκυήθη. 2 τὸ μέγιστον δὲ δεινόν, ὃ καὶ τὸν παρόντα καιρὸν ἐλύπησε καὶ πρὸς τὸ μέλλον οἰωνίσματι καὶ φαύλῳ συμβόλῳ χρωμένους πάντας ἐτάραξεν· οὔτε γὰρ ὄμβρου προϋπάρξαντος οὔτε νεφῶν ἀθροισθέντων, σεισμοῦ δὲ ὀλίγου προγενομένου γῆς, εἴτε σκηπτοῦ νύκτωρ κατενεχθέντος, εἴτε καὶ πυρός ποθεν ἐκ τοῦ σεισμοῦ διαρρυέντος, πᾶν τὸ τῆς Εἰρήνης τέμενος κατεφλέχθη, μέγιστον καὶ κάλλιστον γενόμενον τῶν ἐν τῇ πόλει ἔργων. 3 πλουσιώτατον δὲ ἦν πάντων ἱερῶν, δι´ ἀσφάλειαν ἀναθήμασι κεκοσμημένον χρυσοῦ τε καὶ ἀργύρου· ἕκαστος δέ, ἃ εἶχεν, ἐκεῖσε ἐθησαυρίζετο. ἀλλὰ τὸ πῦρ ἐκείνης νυκτὸς πολλοὺς ἐκ πλουσίων πένητας ἐποίησεν· ὅθεν ὠλοφύροντο κοινῇ μὲν πάντες τὰ δημόσια, ἕκαστος δὲ τὰ ἴδια αὐτοῦ. 4 καταφλέξαν δὲ τὸ πῦρ τόν τε νεὼν καὶ πάντα τὸν περίβολον, ἐπενεμήθη καὶ τὰ πλεῖστα τῆς πόλεως καὶ κάλλιστα ἔργα· ὅτε καὶ τῆς Ἑστίας τοῦ νεὼ καταφλεχθέντος ὑπὸ τοῦ πυρὸς γυμνωθὲν ὤφθη τὸ τῆς Παλλάδος ἄγαλμα, ὃ σέβουσί τε καὶ κρύπτουσι Ῥωμαῖοι κομισθὲν ἀπὸ Τροίας, ὡς λόγος· ὃ τότε πρῶτον καὶ μετὰ τὴν ἀπ´ Ἰλίου εἰς Ἰταλίαν ἄφιξιν εἶδον οἱ καθ´ ἡμᾶς ἄνθρωποι. 5 ἁρπάσασαι γὰρ τὸ ἄγαλμα αἱ τῆς Ἑστίας ἱέρειαι παρθένοι διὰ μέσης τῆς ἱερᾶς ὁδοῦ εἰς τὴν τοῦ βασιλέως αὐλὴν μετεκόμισαν. κατεφλέχθη δὲ καὶ ἄλλα πλεῖστα τῆς πόλεως μέρη καὶ κάλλιστα, ἱκανῶν τε ἡμερῶν πάντα ἐπιὸν τὸ πῦρ ἐπεβόσκετο, οὐδὲ πρότερον ἐπαύσατο, πρὶν ἢ

мовила: 2 "Ти, імператоре, перебуваючи у спокої й невіданні про те, що відбувається, наражаєшся на крайню небезпеку; ми ж, твої рідні, ось-ось загинемо. Від тебе-бо відвернулися римський народ і більшість війська. Те, на що, як ми вважали, не наважиться жоден із варварів, чинять наші свояки, і, зробивши для них безліч добрих справ, ти отримав у їх особі ворогів. 3 Клеандр озброїв проти тебе народ і військо; через те ж, що настрої різні та протилежні: одні (народ) ненавидять його, інші (весь загін кінноти) – люблять, – вони, озброєні, вбиваючи один одного, сповнили місто братньою кров'ю. Нещастя обох сторін досягнуть і нас, якщо ти не віддаси якомога скоріш на смерть негідного домочадця, який для одних став винуватцем стількох смертей, а для нас – ось-ось буде таким". 4 Сказавши щось таке і розірвавши на собі одяг, вона і дехто з присутніх (вони-бо посміливішали від слів сестри імператора) збентежили Комода. Вражений і наляканий небезпекою, яка не насувалася, а була вже наявною, він послав по Клеандра, який нічого не знав про сповіщене, але дещо підозрював. Коли той прийшов, Комод наказав його схопити; відрубавши йому голову і насадивши на довгий спис, він виставив її як приємне і бажане для народу видовище. 5 Так-ось припинилося це жахіття, і обидві сторони перестали воювати: воїни, побачивши вбитим того, за кого вони билися, боялися гніву імператора (вони розуміли, що жорстоко одурені й наважилися на скоєне проти його волі), народ же досхочу насолодився карою того, хто вчинив стільки жахливих злочинів. 6 Зверх того вони вбили і дітей Клеандра (а у нього було двоє синів), а також усіх його друзів, яких знали; протягши тіла по землі й усіляко поглумившись над ними, вони врешті кинули їх до стічних канав. Такий був кінець Клеандра та його поплічників; як би то мовити, заздрісна природа на одному прикладі показала, як незначний несподіваний поворот долі може підняти з крайньої ницості до найбільших висот, а потім знову скинути додолу звеличеного. 7 Комод же побоювався народних заворушень, аби була не замислили заколот і проти нього, та все ж за намовою домашніх повернувся до міста, був прийнятий народом, що супроводжував його з пишними славослів'ями, і увійшов до імператорського палацу. Після випробувань такими великими небезпеками він нікому не довіряв і безжально вбивав, легко віряючи наклепам, і не допускав до себе нікого гідного поваги; натомість же відкидав усілякий потяг до благородних занять, а вдень і вночі всю його душу зневолювали безперервні та нестримні тілесні насолоди. 8 І всякий мудрий, освічений чи навіть просто поміркований придворний переслідувався як змовник, а сміховинні й осоружні лицеміри мали над Комодом владу. Він учився їздити на колісниці й боротися зі звірями, причому його підлабузники оспівували це як мужні подвиги, а сам він віддавався цим заняттям у значно більш негожий спосіб, аніж це личило мудрому правителеві.

[1,14] *У цей же час з'явилися і деякі небесні знамення. Удень постійно можна було спостерігати зірки, і деякі з них видовжувались до такої міри, що здавалося, ніби вони звисають у повітрі; і різноманітні тварини, граджуючи своїй природі, часто народжувалися з чужорідною формою та неспівмірними частинами тіла. 2 Найжахливішою ж подією, яка засмутила всіх провидців щодо теперішнього і збентежила щодо майбутнього знаменнями і поганими знаками, була отака: хоч не йшов перед тим дощ і не збиралися хмари, але спершу стався невеликий землетрус, а потім або тому, що вночі вдарила блискавка, або тому, що внаслідок землетрусу звідкись вирвався вогонь, згоріло все святилище Миру, найбільша і найпрекрасніша з тогочасних споруд у місті. 3 Це був найбагатший з усіх храмів, через його убезпеченість він був наповнений золотими та срібними жертовними дарами; а кожен там зберігав коштовності, що мав. Але тієї ночі вогонь багатьох із багатіїв зробив бідними, тому всі разом тужили за спільним майном, а кожен – за своїм власним. 4 Коли вогонь знищив храм і всю огорожу, він перекинувся й на інші численні та прекрасні споруди в місті: коли згорів храм Вести, відкрилася поглядам оголеною статуя Паллади, що її, привезену, за переказом, із Трої, римляни шанують і зважають від очей; тоді вперше після перевезення з Трої до Італії її побачили сучасні люди. 5 Тож непорочні жриці Вести підхопили статую і перенесли її серединою священної дороги до імператорського палацу. Згоріло й багато інших прекрасних куточків міста, і немало днів вогонь поглинав усе, що*

κατενεχθέντες ὅμβροι ἐπέσχον αὐτοῦ τὴν ὁρμήν. 6 ὅθεν καὶ τὸ πᾶν ἔργον ἐξεθειάσθη πιστευόντων [κατ´ ἐκεῖνο καιροῦ] τῶν τότε ἀνθρώπων ὅτι γνώμῃ θεῶν καὶ δυνάμει ἤρξατό τε τὸ πῦρ καὶ ἐπαύσατο. συνεβάλλοντο δέ τινες [ἐκ τῶν κατειληφότων] πολέμων σημεῖον εἶναι τὴν τοῦ νεὼ τῆς Εἰρήνης ἀπώλειαν. τὰ γοῦν ἀκολουθήσαντα, ὡς ἐν τοῖς ἑξῆς ἐροῦμεν, ἐκ τῆς ἀποβάσεως τὴν προϋπάρχουσαν φήμην ἐπιστώσατο. 7 πολλῶν δὴ καὶ δεινῶν συνεχῶς κατειληφότων τὴν πόλιν οὐκέτι ὁ Ῥωμαίων δῆμος μετ´ εὐνοίας τὸν Κόμοδον ἐπέβλεπεν, ἀλλὰ καὶ τὰς αἰτίας τῶν ἀλλεπαλλήλων συμφορῶν εἰς τοὺς ἐκείνου ἀκρίτους φόνους καὶ τὰ λοιπὰ τοῦ βίου ἀνέφερεν ἁμαρτήματα. οὐδὲ γὰρ ἐλάνθανε τὰ πραττόμενα πάντας, ἀλλ´ οὐδὲ αὐτὸς λανθάνειν ἤθελεν· ἃ δὲ πράττων οἴκοι διεβάλλετο, ταῦτα καὶ δημοσίᾳ δεῖξαι ἐτόλμησεν· 8 εἰς τοσοῦτόν τε μανίας καὶ παροινίας προὐχώρησεν, ὡς πρῶτον μὲν τὴν πατρῴαν προσηγορίαν παραιτήσασθαι, ἀντὶ δὲ Κομόδου καὶ Μάρκου υἱοῦ Ἡρακλέα τε καὶ Διὸς υἱὸν αὐτὸν κελεύσας καλεῖσθαι ἀποδυσάμενός τε τὸ Ῥωμαίων καὶ βασίλειον σχῆμα λεοντῆν ἐπεστρώννυτο καὶ ῥόπαλον μετὰ χεῖρας ἔφερεν· ἀμφιέννυτό τε ἀλουργεῖς καὶ χρυσουφεῖς ἐσθῆτας, ὡς εἶναι καταγέλαστον αὐτὸν ὑφ´ ἑνὶ σχήματι καὶ θηλειῶν πολυτέλειαν καὶ ἡρώων ἰσχὺν μιμούμενον. 9 τοιοῦτος μὲν δὴ προιὼν ἐφαίνετο, ἄλλαξε δὲ καὶ τῶν ἐνιαυσίων μηνῶν τὰ ὀνόματα, ὅσα μὲν ἀρχαῖα καταλύσας, πάντας δὲ ταῖς ἑαυτοῦ προσηγορίαις ὀνομάσας, ὧν αἱ πλεῖσται εἰς Ἡρακλέα δῆθεν ὡς ἀνδρειότατον ἀνεφέροντο. ἔστησε δὲ καὶ ἀνδριάντας αὐτοῦ κατὰ πᾶσαν τὴν πόλιν, ἀλλὰ μὴν καὶ ἀντικρὺ τοῦ τῆς συγκλήτου συνεδρίου τόξον διηγκυλημένον· ἐβούλετο γὰρ δὴ καὶ τὰς εἰκόνας αὐτῷ φόβον ἀπειλεῖν.

[1,15] τὸν μὲν οὖν ἀνδριάντα μετὰ τὴν ἐκείνου τελευτὴν καθελοῦσα ἡ σύγκλητος Ἐλευθερίας εἰκόνα ἵδρυσεν· ὁ δὲ Κόμοδος μηκέτι κατέχων ἑαυτοῦ δημοσίᾳ θέας ἐπετέλεσεν, ὑποσχόμενος τά τε θηρία πάντα ἰδίᾳ χειρὶ κατακτενεῖν καὶ τοῖς ἀνδρειοτάτοις τῶν νεανιῶν μονομαχήσειν. διαδραμούσης δὲ τῆς φήμης συνέθεον ἔκ τε τῆς Ἰταλίας πάσης καὶ τῶν ὁμόρων ἐθνῶν, θεασόμενοι ἃ μὴ πρότερον μήτε ἑωράκεσαν μήτε ἠκηκόεσαν. καὶ γὰρ διηγγέλλετο αὐτοῦ τῆς χειρὸς τὸ εὔστοχον, καὶ ὅτι ἔμελεν αὐτῷ ἀκοντίζοντι καὶ τοξεύοντι μὴ πταίειν. 2 συνῆσαν δὲ παιδεύοντες αὐτὸν Παρθυαίων οἱ τοξικὴν ἀκριβοῦντες καὶ Μαυρουσίων οἱ ἀκοντίζειν ἄριστοι, οὓς πάντας εὐχειρίᾳ ὑπερέβαλλεν. ἐπεὶ δὲ κατέλαβον αἱ τῆς θέας ἡμέραι, τὸ μὲν ἀμφιθέατρον πεπλήρωτο, τῷ δὲ Κομόδῳ περίδρομος κύκλῳ κατεσκεύαστο, ὡς μὴ συστάδην τοῖς θηρίοις μαχόμενος κινδυνεύοι, ἄνωθεν δὲ καὶ ἐξ ἀσφαλοῦς ἀκοντίζων εὐστοχίας μᾶλλον ἢ ἀνδρείας παρέχοιτο δεῖξιν. 3 ἐλάφους μὲν οὖν καὶ δορκάδας ὅσα τε κερασφόρα πλὴν ταύρων, συνθέων αὐτοῖς καὶ καταδιώκων ἔβαλλε φθάνων τε αὐτῶν τὸν δρόμον καὶ πληγαῖς καιρίοις ἀναιρῶν· λέοντας δὲ καὶ παρδάλεις ὅσα τε ζῷα γενναῖα περιθέων ἄνωθεν κατηκόντιζεν. οὐδέ τις εἶδεν ἀκόντιον δεύτερον οὐδὲ τραῦμα ἄλλο πλὴν τοῦ θανατηφόρου· 4 ἅμα γὰρ τῇ τοῦ ζῴου ὁρμῇ κατὰ τοῦ μετώπου ἢ κατὰ καρδίας ἔφερε τὴν πληγήν, καὶ οὐδέποτε σκοπὸν ἄλλον ἔσχεν οὐδὲ ἐπ´ ἄλλο μέρος ἦλθε τὸ ἀκόντιον τοῦ σώματος, ὡς μὴ ἅμα τε τρῶσαι καὶ φονεῦσαι. τὰ δὲ πανταχόθεν ζῷα ἠθροίζετο αὐτῷ. τότε γοῦν εἴδομεν ὅσα ἐν γραφαῖς ἐθαυμάζομεν· 5 ἀπό τε γὰρ Ἰνδῶν καὶ Αἰθιόπων, εἴ τι πρότερον ἄγνωστον ἦν, μεσημβρίας τε καὶ τῆς ἀρκτῴας γῆς ζῷα πάντα φονεύων Ῥωμαίοις ἔδειξε. τὸ δ´εὔστοχον τῆς χειρὸς αὐτοῦ πάντες ἐξεπλήττοντο. λαβὼν οὖν ποτὲ βέλη ὧν αἱ ἀκμαὶ ἦσαν μηνοειδεῖς, ταῖς Μαυρουσίαις στρουθοῖς ὀξύτατα φερομέναις καὶ ποδῶν τάχει καὶ κολπώσει πτερῶν ἐπαφιεὶς τὰ βέλη κατ´ ἄκρου τοῦ τραχήλου ἐκαρατόμει, ὡς καὶ τῶν κεφαλῶν ἀφῃρημένας ὁρμῇ τοῦ βέλους ἔτι περιθεῖν αὐτὰς ὡς μηδὲν παθούσας. 6 παρδάλεως δέ ποτε ὀξυτάτῳ δρόμῳ τὸν ἐκκαλούμενον καταλαβούσης φθάσας τῷ ἀκοντίῳ μέλλουσαν δῄξεσθαι, τὴν μὲν ἀπέκτεινε τὸν δὲ ἐρρύσατο, φθάσας τῇ τοῦ δόρατος αἰχμῇ τὴν τῶν ὀδόντων ἀκμήν. λεόντων δέ ποτε ἐξ ὑπογαίων ἑκατὸν ἅμα ἀφεθέντων ἰσαρίθμοις ἀκοντίοις πάντας ἀπέκτεινεν, ὡς ἐπὶ πολὺ κειμένων τῶν πτωμάτων δι´ αὐτὸ τοῦτο ἐπὶ σχολῆς πάντας ἀριθμῆσαι καὶ μηδ´ ἓν ἰδεῖν περιττὸν ἀκόντιον. 7 μέχρι μὲν οὖν τούτων, εἰ καὶ βασιλείας τὰ πραττόμενα ἦν ἀλλότρια, πλὴν ἀνδρείας καὶ εὐστοχίας παρὰ τοῖς δημώδεσιν εἶχέ τινα χάριν. ἐπεὶ δὲ καὶ γυμνὸς εἰς τὸ ἀμφιθέατρον εἰσῆλθεν ὅπλα τε ἀναλαβὼν ἐμονομάχει, τότε σκυθρωπὸν εἶδεν ὁ δῆμος θέαμα, τὸν εὐγενῆ Ῥωμαίων βασιλέα μετὰ τοσαῦτα τρόπαια πατρός τε καὶ προγόνων οὐκ ἐπὶ βαρβάρους ὅπλα λαμβάνοντα τὰ στρατιωτικὰ ἢ Ῥωμαίων ἀρχῇ πρέποντα, καθυβρίζοντα δὲ τὸ ἀξίωμα αἰσχίστῳ καὶ μεμιασμένῳ σχήματι. 8 ὃ μὲν οὖν μονομαχῶν ῥᾳδίως τῶν ἀνταγωνιστῶν

траплялося йому на шляху, і вщух не раніше, ніж зливи, що ринули з неба, стримали його навалу. 6 Тому всі ці події були сприйняті як дещо божественне, бо люди тоді вірили, що пожежа почалась і вщухла за волею і владою богів. Деякі ж із кмітливих вбачали у знищенні храму Миру знамення воєн. Наступні події, як ми розповімо далі, від самого початку підтвердили попередні чутки. 7 Через те, що багато страшних подій постійно траплялося в місті, римський народ уже не ставився до Комода з прихильністю, а вбачав причину безперервних нещасть у його безкарних убивствах та інших злочинах упродовж життя. Адже те, що коїлося, ні від кого не приховувалося, та Комод і не хотів це приховувати: те, що він робив удома і що йому закидали, він не соромився виставляти напоказ і прилюдно; 8 до того він дійшов у своєму божевіллі і п'яній сваволі, що спершу попросив позбавити себе батькового імені, наказав іменувати себе замість Комода, сина Марка, Гераклом, сином Зевса, а тоді, знявши римський імператорський одяг, надягнув лев'ячу шкіру, в руці же став носити довбню; вдягав також пурпуровий і золототканий одяг, так що був сміховинним одним лише своїм виглядом і тим, що наслідував водночас жіночу пишноту і силу героїв. 9 Таким він виглядав на виходах; змінив він і назви місяців року, найбільш давні скасувавши і назвавши всі своїми прізвиськами, більшість з яких, звісно, походили від Геракла як наймужнішого. І статуї собі Комод ставив по всьому місту, ба навіть навпроти сенату у вигляді мужа, який натягує лук: він хотів, аби його зображення вселяли страх.

[1,15] *Поваливши цю статую після його смерті, сенат установив зображення Свободи; Комод же, вже не стримуючись, влаштував прилюдні видовища, пообіцявши, що власноруч убиватиме різноманітних диких звірів і битиметься сам на сам із найвідважнішими з юнаків. Коли ж чутка про це поширилася, почали з'їжджатися люди з усієї Італії і з сусідніх країн, аби подивитися на те, чого раніше ніколи не бачили і не чули. Адже розповідали про вправність Комодової руки і про те, що він не хибитиме, кидаючи дротик чи пускаючи стріли. 2 З ним були і навчали його парфянські наставники, найвправніші у стрільбі з лука, і найкращі у метанні списа мавританці, а всіх їх він перевершував вправністю. Коли настали дні видовищ, амфітеатр заповнився людьми, а для Комода спорудили кільцеву огорожу, щоб він не наражався на небезпеку, б'ючись упритул зі звірями, а, вражаючи їх згори і з безпечного місця, виявляв радше влучність, аніж мужність. 3 Оленів, косуль та інших рогатих тварин, окрім биків, він вражав, бігаючи за ними, переслідуючи їх, випереджаючи їх біг і завдаючи їм смертельних ударів; левів же, леопардів та інших благородних тварин він, оббігши навколо, убивав списом згори. І ніхто не побачив ані другого списа, ані рани іншої, ніж смертоносна; 4 як тільки тварина нападала, Комод ударяв її в чоло чи в серце і ніколи не мав іншої цілі, а спис ніколи не влучав у іншу частину тіла так, щоб, поранивши, не вбити. Для нього звідусіль звозили тварин. І тоді ми побачили те, чому дивувалися лише на малюнках: 5 він, убиваючи, показав римлянам усіх тварин з Індії та Ефіопії, з південних і північних країв, які, може, й були до того невідомими. Усіх вражала влучність його руки. Іноді він брав списи з місяцеподібними наконечниками й обезголовлював мавританських страусів, що бігли дуже швидко завдяки прудкості ніг і вигину крил, поціляючи списом у верхню частину шиї, так, що, обезголовлені через стрімкість лету списів, птахи ще продовжували бігти, наче нічого не відчувши. 6 Коли якось леопард нагнав на швидкому бігу того, хто його випустив, і вже змірювався розірвати його, Комод, дістави звіра списом, убив, а того врятував, випередивши наконечником списа гостроту зубів. Бувало, що з підземелля випускали одразу сто левів; він усіх їх убивав таким же числом списів, а позаяк трупи лежали ще довго, їх неквапно рахували і не бачили жодного зайвого списа. 7 Спочатку, якщо Комодові вчинки й були негідними імператорської влади, він користувався певною прихильністю натовпу завдяки мужності та влучності. Та коли вже він увійшов до амфітеатру голим і, взявши зброю, почав битися сам на сам, тоді народ побачив похмуре видовище: благородний римський імператор після таких трофеїв батька та предків не проти варварів береться за солдатську чи належну владі над римлянами зброю, а над власною честю глумиться в найомерзенніший і найбрудніший спосіб. 8 Він легко перемагав у двобої супротивників, і доходило до*

περιεγίνετο καὶ μέχρι τραυμάτων προεχώρει ὑπεικόντων ἁπάντων καὶ τὸν βασιλέα οὐ τὸν μονομάχον ἐννοούντων. εἰς τοσοῦτον δὲ προεχώρησε μανίας, ὡς μηκέτι βούλεσθαι μηδὲ τὴν βασίλειον οἰκεῖν ἑστίαν· ἀλλὰ γὰρ μετοικισθῆναι ἐβούλετο εἰς τὸ τῶν μονομάχων καταγώγιον. ἑαυτὸν δὲ οὐκέτι Ἡρακλέα, ἀλλὰ τῶν μονομαχούντων ἐνδόξου τινὸς προτετελευτηκότος ὀνόματι καλεῖσθαι προσέταξε. 9 τοῦ δὲ μεγίστου ἀγάλματος κολοσσιαίου, ὅπερ σέβουσι Ῥωμαῖοι εἰκόνα φέρον ἡλίου, τὴν κεφαλὴν ἀποτεμὼν ἱδρύσατο <τὴν> ἑαυτοῦ, ὑπογράψας τῇ βάσει [οὐχ] ἃς εἰώθασι βασιλικὰς καὶ πατρῴας προσηγορίας, ἀντὶ δὲ Γερμανικοῦ "μονομάχους χιλίους νικήσαντος".

[1,16] ἔδει δὲ ἄρα ποτὲ κἀκεῖνον παύσασθαι μεμηνότα καὶ τὴν Ῥωμαίων ἀρχὴν τυραννουμένην. νέου μὲν γὰρ ἔτους τῆς εἰσιούσης ἔμελλεν ἡμέρας <ἀρχὴ ἔσεσθαι> σέβουσι τε τὴν ἑορτὴν Ῥωμαῖοι εἰς θεὸν ἀρχαιότατον, τῆς Ἰταλίας ἐπιχώριον, ἀναφέροντες. φασὶ γὰρ αὐτοῦ καὶ Κρόνον ὑπὸ Διὸς ἐκβληθέντα τῆς ἀρχῆς κατελθόντα εἰς γῆν γενέσθαι ξένον, δεδιότα δὲ τὴν τοῦ παιδὸς δυναστείαν παρ´ αὐτῷ κρυπτόμενον λαθεῖν· ὅθεν καὶ τὸ ὄνομα δοθῆναι τῷ χώρῳ [τῆς Ἰταλίας] Λάτιόν τε κληθῆναι, ἀπὸ τῆς Ἑλλάδος φωνῆς εἰς τὴν ἐπιχώριον παραχθέν. 2 διὰ ταῦτά τοι καὶ μέχρι νῦν Ἰταλιῶται τὰ μὲν Κρόνια προεορτάζουσι θεῷ τῷ λαθόντι, τὴν δὲ τοῦ ἔτους ἀρχὴν ἱερομηνίαν ἄγουσι τῷ τῆς Ἰταλίας θεῷ. διπρόσωπον δὲ αὐτοῦ τὸ ἄγαλμα ἵδρυται, ἐπειδὴ εἰς αὐτὸν ὁ ἐνιαυτὸς ἄρχεταί τε καὶ παύεται. ταύτης δὲ τῆς ἑορτῆς προσιούσης, ἐν ᾗ μάλιστα Ῥωμαῖοι δεξιοῦνταί τε ἀλλήλους καὶ προσαγορεύουσι νομισμάτων τε ἀντιδόσεσι καὶ κοινωνίᾳ τῶν γῆς καὶ θαλάσσης καλῶν εὐφραίνουσιν αὐτοὺς (ἀρχαί τε ἐπώνυμοι τότε πρῶτον τὴν ἔνδοξον καὶ ἐνιαύσιον πορφύραν περιτίθενται), πάντων ἑορταζόντων ὁ Κόμοδος ἐβούλετο οὐκ ἐκ τῆς βασιλείου, ὡς ἔθος, προελθεῖν οἰκίας, ἀλλ´ ἐκ τοῦ τῶν μονομάχων καταγωγίου, ἀντὶ δὲ τῆς εὐπαρύφου καὶ βασιλικῆς πορφύρας ὅπλα τε αὐτὸς φέρων καὶ συμπροιόντων τῶν λοιπῶν μονομάχων ὀφθῆναι τοῖς Ῥωμαίοις. 3 ἐπεὶ δὲ τὴν γνώμην αὐτοῦ ταύτην ἀνήνεγκε πρὸς Μαρκίαν, ἣν εἶχε τῶν παλλακίδων τιμιωτάτην, [ἡ] οὐδέν τι ἀπεῖχε γαμετῆς γυναικός, ἀλλὰ πάντα ὑπῆρχεν ὅσα Σεβαστῇ πλὴν τοῦ πυρός, ἣ, μαθοῦσα τὴν παράλογον οὕτω καὶ ἀπρεπῆ βούλησιν αὐτοῦ τὰ πρῶτα ἐλιπάρει καὶ προσπίπτουσα μετὰ δακρύων ἐδεῖτο μήτε τὴν Ῥωμαίων ἀρχὴν καθυβρίσαι μηθ´ ἑαυτὸν ἐπιδόντα μονομάχοις καὶ ἀπεγνωσμένοις ἀνθρώποις κινδυνεῦσαι. 4 ἐπεὶ δὲ πολλὰ ἱκετεύουσα οὐκ ἐτύγχανεν αὐτοῦ, ἣ μὲν δακρύουσα ἀπέστη, ὁ δὲ Κόμοδος μεταπεμψάμενος Λαῖτόν τε τὸν ἔπαρχον τῶν στρατοπέδων Ἔκλεκτόν τε τὸν τοῦ θαλάμου προεστῶτα ἐκέλευεν αὐτῷ <πάντα> παρασκευασθῆναι ὡς διανυκτερεύσων ἐν τῷ τῶν μονομάχων καταγωγίῳ κἀκεῖθεν προελευσόμενος ἐπὶ τὰς θυσίας τῆς ἱερομηνίας, ὡς Ῥωμαίοις ἔνοπλος ὀφθείη. οἱ δὲ ἱκέτευον καὶ πείθειν ἐπειρῶντο μηδὲν ἀνάξιον τῆς βασιλείας ποιεῖν.

[1,17] ὁ δὲ Κόμοδος ἀσχάλλων τοὺς μὲν ἀπεπέμψατο, αὐτὸς δὲ ἐπανελθὼν εἰς τὸ δωμάτιον ὡς δὴ καθευδήσων (καὶ γὰρ μεσημβρίας εἰώθει τοῦτο ποιεῖν), λαβὼν γραμματεῖον τούτων δὴ τῶν ἐκ φιλύρας εἰς λεπτότητα ἠσκημένων ἐπαλλήλῳ τε ἀνακλάσει ἀμφοτέρωθεν ἐπτυγμένων γράφει, ὅσους χρὴ τῆς νυκτὸς φονευθῆναι. 2 ὧν πρώτη μὲν ἦν Μαρκία, εἵποντο δὲ Λαῖτός τε καὶ Ἔκλεκτος, ἐπὶ δὲ τούτοις πολὺ πλῆθος τῶν τῆς συγκλήτου πρωτευόντων. τοὺς μὲν γὰρ πρεσβυτέρους καὶ λοιποὺς πατρῴους φίλους ἀποσκευάσασθαι πάντας ἤθελεν, αἰδούμενος ἔχειν αἰσχρῶν ἔργων σεμνοὺς ἐπόπτας· τῶν δὲ πλουσίων τὰς οὐσίας χαρίσασθαι ἐβούλετο μερίσαι τε εἰς τοὺς στρατιώτας καὶ τοὺς μονομαχοῦντας, τοὺς μὲν ἵνα φυλάττοιεν αὐτόν, τοὺς δὲ ἵνα τέρποιεν. 3 γράψας δὴ <τὸ> γραμματεῖον τίθησιν ἐπὶ τοῦ σκίμποδος, οἰηθεὶς μηδένα ἐκεῖσε εἰσελεύσεσθαι. ἦν δέ τι παιδίον πάνυ νήπιον, τούτων δὴ τῶν γυμνῶν μὲν ἐσθῆτος χρυσῷ δὲ καὶ λίθοις πολυτίμοις κεκοσμημένων, οἷς ἀεὶ χαίρουσι Ῥωμαίων οἱ τρυφῶντες. ὑπερηγάπα δὲ ὁ Κόμοδος αὐτὸ ὡς συγκαθεύδειν πολλάκις Φιλοκόμοδός τε ἐκαλεῖτο, δεικνυούσης καὶ τῆς προσηγορίας τὴν στοργὴν τὴν εἰς τὸν παῖδα τοῦ βασιλέως. 4 τὸ δὴ παιδίον τοῦτο ἄλλως ἀθῦρον, προελθόντος τοῦ Κομόδου ἐπὶ τὰ συνήθη λουτρά τε καὶ κραιπάλας, εἰσδραμὸν εἰς τὸν θάλαμον ὥσπερ εἰώθει, τὸ γραμματεῖον ἐπὶ τοῦ σκίμποδος κείμενον ἀνελόμενον, ἵνα δὴ παίζειν ἔχοι, πρόεισι τοῦ οἴκου. κατὰ δέ τινα δαίμονα συνήντετο τῇ Μαρκίᾳ. ἣ δὲ (καὶ αὐτὴ γὰρ ἔστεργε τὸ παιδίον) περιπτύξασα καὶ φιλοῦσα αὐτὸ τὸ γραμματεῖον ἀφαιρεῖται, δεδοκυῖα μή τι τῶν ἀναγκαίων ὑπὸ νηπιότητος ἀγνοοῦν παῖζον διαφθείρῃ. γνωρίσασα δὲ τὴν τοῦ Κομόδου χεῖρα, ταύτῃ καὶ μᾶλλον ἐσπούδαζε διεξελθεῖν τὴν

καліцтв, бо всі поступалися йому, розуміючи, що перед ними не гладіатор, а імператор. До того дійшов він у своєму божевіллі, що не хотів уже жити в імператорській оселі: натомість, він забажав переселитися до гладіаторської казарми. Себе ж він наказав именувати вже не Гераклом, а іменем якогось загиблого раніше славетного гладіатора. 9 Зніcши голову величезної шанованої римлянами статуї, що зображувала Сонце, він установив на її місці свою, написавши на підніжжі не імператорські чи батьківські титули, як це заведено у римлян, а, замість Германіка, – "переможець тисячі гладіаторів".

[1,16] *Та треба було колись і йому припинити це божевілля, а Римській державі – звільнитися від влади тирана. Тоді-бо саме мав настати перший день нового року, коли римляни влаштовують свято, вшановуючи найдавнішого місцевого бога Італії. Отож, кажуть, що Кронос, позбавлений влади Зевсом, спустившись на землю, став його гостем; боячись могутності сина, він переховувався в нього; звідси походить назва Лацій, дана цьому італійському краєві: вона була запозичена з грецької мови місцевою. 2 Так-от, через це й донині італійці спершу справляють Кронії на честь бога, що ховався, а відтак – початок року, яким вважають священний місяць на честь італійського бога. Ставиться його дволике зображення, бо ним починається і закінчується рік. Коли настає це свято, римляни щиро вітають і віншують один одного, обмінюючись грішми, ділячись дарами землі та моря; призначені посадовці тоді вперше вдягають славетну річну порфиру; і ось, коли всі святкували, Комод вирішив вийти не з імператорського палацу, як велить звичай, а з гладіаторських казарм, замість облямованої пурпуром імператорської порфири несучи зброю, і так у супроводі решти гладіаторів з'явитися перед римлянами. 3 Коли ж про такий намір він розповів Марції, яку шанував найбільше з-поміж наложниць, і яка нічим не відрізнялася від законної дружини й користувалася всім тим, що й Августа, крім вогню, що його несли перед тією, тоді вона, дізнавшись про таке його нерозумне і негідне бажання, спершу вмовляла його і, падаючи перед ним долі, зі слізьми благала, аби він не паплюжив Римську державу й не піддавав себе небезпеці, віддаючись на поталу гладіаторам і пропащим людям. 4 Так, проте, і не переконавши його, після довгих благань вона з плачем відступила, а Комод, пославши по Лета, префекта преторію, і Еклекта, наглядача імператорських покоїв, наказав приготувати собі все для того, аби, переночувавши в казармі гладіаторів, звідти вирушити до жертвоприношення на честь священного місяця й показати себе римлянам озброєним. Лет же й Еклект благали і намагалися переконати його не робити нічого негідного імператорської влади.*

[1,17] *Комод, розгніваний, відіслав їх, а сам пішов до покоїв, щоб поспати (він-бо й зазвичай робив це опівдні); взявши одну з табличок (а вони виготовляються дуже тонкими з липи і складаються, згинаючись з обох боків), він написав, кого слід було тієї ночі убити. 2 Першою серед них була Марція, потім – Лет і Еклект, а після них – іще багато впливових сенаторів. Адже старших і навіть решту батькових друзів він хотів усіх позбутися, соромлячись того, що мав високих свідків ганебних учинків, а майно багатих хотів роздарувати і розділити між воїнами та гладіаторами: щоб одні захищали його, а інші – приносили насолоду. 3 Написавши список, він поклав його на ліжко, подумавши, що ніхто туди не зайде. Та було якесь дитя, зовсім маленьке, з тих, які ходять голими, прикрашені золотом і коштовним камінням, якими зазвичай втішаються заможні римляни. Комод дуже його любив і навіть часто спав із ним. Його звали Філокомод, і навіть це ймення вказувало на любов імператора до дитини. 4 Коли Комод пішов на звичні купання і пиятику, це-ось дитя, яке просто гралося, забігши за звичкою до покоїв, взяло табличку, що лежала на ліжку, аби було чим гратися, і вибігло з дому. З волі якогось божества воно зустріло Марцію. А та (і вона-бо любила дитину), обнявши і приголубивши його, відняла табличку, боячись, аби, не розуміючи через дитячий вік, воно не знищило граючись щось важливе. Упізнавши ж руку Комода, Марція ще дужче забажала прочитати написане. 5 Коли вона зрозуміла, що воно несе смерть, і передусім належить померти їй, а потім – Летові, Еклекту й решті вготована така розправа, гірко заволавши,*

γραφήν. 5 ἐπεὶ δὲ εὗρεν αὐτὸ θανατηφόρον καὶ πρὸ ἁπάντων αὐτήν τε μέλλουσαν τεθνήξεσθαι, Λαῖτόν τε καὶ Ἔκλεκτον ἐπακολουθήσοντας, τῶν τε λοιπῶν τοσοῦτον φόνον, ἀνοιμώξασα καθ´ ἑαυτήν τε εἰποῦσα "εὖγε, ὦ Κόμοδε· ταῦτ´ ἄρα χαριστήρια εὐνοίας τε καὶ στοργῆς <τῆς ἐμῆς> ὕβρεώς τε καὶ παροινίας τῆς σῆς, ἧς ἐτῶν τοσούτων ἠνεσχόμην. ἀλλ´ οὐ καταπροίξῃ αὐτὸς μεθύων νηφούσης γυναικός", 6 ταῦτα εἰποῦσα, τὸν Ἔκλεκτον μεταπέμπεται. ἔθος δ´ εἶχεν αὐτῇ προσιέναι ἅτε τοῦ θαλάμου φύλαξ, ἔτι τε καὶ ἐπὶ συνουσίᾳ αὐτοῦ διεβάλλετο. δοῦσα δὲ τὸ γραμματεῖον "ὅρα – ἔφη – ποίαν μέλλομεν παννυχίζειν ἑορτήν". ὁ δ´ Ἔκλεκτος ἀναγνούς τε καὶ ἐκπλαγείς (ἦν δὲ τὸ γένος Αἰγύπτιος, τολμῆσαί τε ἅμα καὶ δρᾶσαι θυμῷ τε δουλεῦσαι πεφυκώς) κατασημηνάμενος οὖν τὸ γραμματεῖον δία τινος τῶν ἑαυτῷ πιστῶν ἀναγνωσθησόμενον πέμπει τῷ Λαίτῳ. 7 ὃ δὲ καὶ αὐτὸς ταραχθεὶς ἀφικνεῖται πρὸς Μαρκίαν ὡς δὴ συσκεψόμενος αὐτοῖς περὶ ὧν ἐκέλευσεν ὁ βασιλεὺς καὶ τοῦ τῶν μονομάχων καταγωγίου· προσποιησάμενοι δὲ περὶ τῶν ἐκείνῳ διαφερόντων σκέπτεσθαι συντίθενται φθάσαι τι δράσαντες ἢ παθεῖν, οὐδὲ καιρὸν εἶναι μελλήσεως ἢ ἀναβολῆς. 8 ἀρέσκει δὴ δοῦναι φάρμακον δηλητήριον τῷ Κομόδῳ, ὑπέσχετο δ´ αὐτὸ ῥᾷστα δώσειν ἡ Μαρκία. εἰώθει γὰρ αὐτὴ κιρνάναι τε καὶ διδόναι τὴν πρώτην πόσιν, ὡς ἥδιον πίοι παρ´ ἐρωμένης. ἐλθόντι δὲ αὐτῷ ἀπὸ τοῦ λουτροῦ ἐμβαλοῦσα εἰς κύλικα τὸ φάρμακον οἴνῳ τε κεράσασα εὐώδει δίδωσι. ὁ δ´ ὡς συνήθη φιλοτησίαν μετὰ πολλὰ λουτρὰ καὶ γυμνάσια τὰ πρὸς θηρία διψῶν ἔπιεν ἀναισθήτως. 9 εὐθέως δὲ κάρος ἐπέπεσεν αὐτῷ καὶ εἰς ὕπνον καθελκόμενος ὑπὸ καμάτου τοῦτο πάσχειν οἰηθεὶς ἀνεπαύσατο. ὁ δὲ Ἔκλεκτος καὶ Μαρκία πάντας ἀποστῆναι κελεύσαντες εἴς τε τὰ οἰκεῖα ἀπιέναι, ἡσυχίαν δὴ παρεσκεύαζον αὐτῷ. εἰώθει δὲ καὶ ἐπὶ ἄλλων <καιρῶν> τοῦτο πάσχειν ὁ Κόμοδος ὑπὸ κραιπάλης· πολλάκις γὰρ λουόμενος καὶ πολλάκις ἐσθίων οὐδένα καιρὸν εἶχεν εἰς ἀνάπαυσιν ὡρισμένον, ἀλλεπαλλήλοις καὶ διαφόροις συνεχόμενος ἡδοναῖς, αἷς δὴ καταλαβούσῃ ὥρᾳ καὶ ἄκων ἐδούλευεν. 10 ἐπ´ ὀλίγον μὲν οὖν ἡσύχασε, περὶ στόμαχον δὲ καὶ κοιλίαν τοῦ φαρμάκου γενομένου ἴλιγγός τε αὐτὸν καταλαμβάνει ἔμετός τε πολὺς ἐπιγίνεται, ἢ τῆς προεγκειμένης τροφῆς ἅμα πότῳ πολλῷ ἐξωθούσης τὸ φάρμακον, ἢ διὰ τὸ προκαταλαμβανόμενον, ὅπερ εἰώθασι βασιλεῖς ἑκάστοτε πρὸ πάσης τροφῆς λαμβάνειν, κώλυμα δηλητηρίων. 11 πλὴν ἀλλὰ πολλοῦ γε τοῦ ἐμέτου ὄντος, φοβηθέντες μὴ πᾶν ἐξεμέσας τὸ φάρμακον ἀνανήψῃ καὶ πάντες ἀπόλωνται, νέον τινὰ ὄνομα Νάρκισσον, γενναῖόν τε καὶ ἀκμαστήν, πείθουσιν εἰσελθόντα τὸν Κόμοδον ἀποπνῖξαι, μεγάλα δώσειν ἔπαθλα ὑποσχόμενοι. ὃ δ´ εἰσδραμὼν παρειμένον αὐτὸν ὑπὸ τοῦ φαρμάκου καὶ μέθης ἀποσφίγξας τὸν τράχηλον φονεύει. 12 τοιούτῳ μὲν <δὴ> τέλει τοῦ βίου ὁ Κόμοδος ἐχρήσατο, βασιλεύσας ἔτη τρισκαίδεκα μετὰ τὴν τοῦ πατρὸς τελευτήν, εὐγενέστατός τε τῶν πρὸ αὐτοῦ γενομένων βασιλέων, κάλλει τε τῶν καθ´ αὐτὸν ἀνθρώπων εὐπρεπέστατος αὐταρκέστατός τε συμμετρίᾳ σώματος, εἰ δέ τι δεῖ καὶ περὶ ἀνδρείας εἰπεῖν, οὐδενὸς ἧττων εὐστοχίᾳ τε καὶ εὐχειρίᾳ, εἰ μὴ τὴν τούτων εὐμορίαν αἰσχροῖς ἐπιτηδεύμασι κατῄσχυνεν, ὡς προείρηται.

вона сказала до себе: "Чудово, Комоде! Ось така дяка за мою вірність і любов поруч від твоєї пихи і пияцтва, яке я терпіла стільки років. Але не залишиться безкарним п'яниця при тверезій жінці". 6 Сказавши це, вона послала по Еклекта. Він зазвичай приходив до неї як наглядач царських покоїв; її навіть огуджували за близькі стосунки з ним. Давши йому записку, вона сказала: "Подивись, яке на нас чекає всенічне святкування". Еклект, прочитавши, був враження (він був родом єгиптянином і звик бути рішучим і одразу діяти, але піддавався й гніву); тож, запечатавши листа, він послав його через когось із довірених Летові, щоб той теж його прочитав. 7 Лет, теж стурбований, прийшов до Марції, буцімто аби порадитися з ними щодо розпоряджень імператора і того, що стосувалося казарм гладіаторів; вони ж удали, що розмірковують про важливі для нього справи, і постановили діяти на випередження або зазнати покарання; не пора була для затримки і зволікань. 8 Вони зійшлися на тому, щоб дати Комодові отруту; Марція запевнила, що легко це зробить. Адже вона зазвичай наливала і подавала йому перше питво, щоб йому було приємно пити з рук коханої. Коли той повернувся з лазні, вона налила в чашу отрути, змішала з запашним вином і дала йому пити. Оскільки він звик приймати заздоровний кубок після довгих купань і вправлянь зі звірями, спраглий, випив, нічого не підозрюючи. 9 Його одразу охопило заціпеніння; впадаючи в сон і думаючи, що це через утому, він ліг поспати. А Еклект і Марція наказали всім піти і повернутися додому: вони буцімто дбали про спокій імператора. Комод відчував бувало таке через пияцтво: серед частого купання і вживання їжі він не мав часу, призначеного для спочинку, але був у полоні безперервних і різноманітних насолод; коли наставала пора, він віддавався їм навіть вимушено. 10 Так-от, недовго Комод відпочивав: коли отрута дісталася до шлунка та черевної порожнини, його охопило запаморочення і з'явилася рясна блювота, чи то тому, що попередні їжа та численні напої виштовхували отруту, чи то через завчасно прийняту протиотруту, яку імператори мають звичку вживати перед кожною трапезою. 11 Не сподівавшись такої рясного блювання і злякавшись, що він протверезиться, виблювавши всю отруту, і вони всі загинуть, змовники намовили одного юнака на ім'я Нарцис, дебелого і дужого, аби той, увійшовши до Комода, задушив його, і пообіцяли щедро його винагородити. Той, увійшовши, схопив знесиленого отрутою та сп'янінням Комода за горло і вбив його. 12 Такий кінець життя спіткав Комода, який процарював тринадцять років після смерті батька, був найшляхетнішим за походженням з-поміж імператорів, які правили до нього, найславетнішим красою та найдосконалішим у співмірності тіла серед сучасників; якщо потрібно щось сказати про доблесть, – нітрохи не менш славним влучністю та вправністю; якби ж він тільки не осоромив гожості цих якостей ганебним способом життя, як ми оповіли раніше.

Надійшла до редколегії 28.04.23

Fedir Dovbyshchenko, Dr. of Philosophy (Philol.)
ORCID: 0009-0002-6820-1055
e-mail: fedir.dovbyshchenko@gmail.com
Taras Shevchenko National University of Kyiv, Kyiv, Ukraine

HERODIAN. THE HISTORY OF THE EMPIRE AFTER MARCUS AURELIUS. BOOK I (A TRANSLATION FROM ANCIENT GREEK)

A Ukrainian translation of the first work of the Greek-speaking historian's of the era of Roman rule Herodian (III century AD) "The History of the Empire after Marcus Aurelius" (Τῆς μετὰ Μάρκον βασιλείας ἱστορίας βιβλια ὀκτώ), which describes the events in the political the life of the Roman Empire from 180 to 238 AD, that is, from the death of Marcus Aurelius to the coming to power of Gordian III, is offered to the attention of scientists and the general public. Book I covers the reign of emperor Commodus (180–192 AD). The Ukrainian translation of the work is published for the first time in bilingual form. The scientific editor of the translation is Lesia Zvonska, Dlitt., professor of the department of general linguistics, classical philology and neo-hellenistic studies of the Educational and scientific institute of philology of Taras Shevchenko National University of Kyiv. Original text source: Lucarini, C.M. ed. (2005). Herodiani Regnum post Marcum. Munich: Saur.

Keywords: ancient Greek historiography, Herodian, Ukrainian translation.